VIII. πολυπειρίαν] πολυπειραν III. εἰκάζειν] εικαζει 23, 157, 248, 261. Compl. Alex. Clem. Alex. p. 775.

IX. ταύτην ἀγαγ.] tr. 296. ἀγαγέσθαι ταύτην ἐμαυτῷ (cum ἐμαυτῷ in charact. minore) Alex. ἀγαγέσθαι] + εμαυτω 106, 248. Compl. + εν αυτω 261.

X. δι' αὐτὴν δόξαν] δια την δοξαν 261. ἐν ὄχλοις] εν οχλω 157. παρὰ πρεσβυτέροις ὁ νέος. Ὀξὺς] παρα πρεσβυτεροις· ὁ νεος οξυς 106.

XII. προσέξεσι] προσαξεσι 261. καὶ λαλεντος] και λαλεντι 106. ἐπιπλεῖον] επι πλεον 157. χεῖρα ἐπιθήσουσιν] tr. 23. χειρας επιθησουσιν 55, 157, 253.

ΚΕΦ. VIII.

τος ἐπιπλεῖον, χεῖρα ἐπιθήσȣσιν ἐπὶ ςόμα αὐτῶν. Ἔξω διʼ αὐτὴν ἀθανασίαν, καὶ μνήμην αἰ- 13.
ώνιον τοῖς μετʼ ἐμὲ ἀπολείψω. Διοικήσω λαȣ̃ς, καὶ ἔθνη ὑποταγήσεταί μοι. Φοβηθήσονταί με 14. 15.
ἀκȣ́σαντες τύραννοι φρικτοὶ, ἐν πλήθει φανȣ̃μαι ἀγαθὸς, καὶ ἐν πολέμῳ ἀνδρεῖος. Εἰσελθὼν 16.
εἰς τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ· οὐ γὰρ ἔχει πικρίαν ἡ συναναςροφὴ αὐτῆς, ȣ̓δὲ ὀδύ-
νην ἡ συμβίωσις αὐτῆς, ἀλλὰ εὐφροσύνην καὶ χαράν. Ταῦτα λογισάμενος ἐν ἐμαυτῷ, καὶ φρον- 17.
τίσας ἐν καρδίᾳ μου, ὅτι ἐςὶν ἀθανασία ἐν συγγενείᾳ σοφίας, Καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγα- 18.
θὴ, καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλȣ̃τος ἀνεκλιπὴς, καὶ ἐν συγγυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις,
καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς, περιήειν ζητῶν ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν. Παῖς δὲ 19.
ἤμην εὐφυὴς, ψυχῆς τε ἔλαχον ἀγαθῆς, Μᾶλλον δὲ ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον. Γνȣ̀ς 20. 21.
δὲ ὅτι ȣ̓κ ἄλλως ἔσομαι ἐγκρατὴς, ἐὰν μὴ ὁ Θεὸς δῷ, καὶ τȣ̃το δʼ ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ
χάρις, ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτȣ̃, καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μȣ.

ΚΕΦ. IX.

ΘΕΕ πατέρων καὶ Κύριε τȣ̃ ἐλέους σου, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, Καὶ τῇ σοφίᾳ σου 1. 2.
κατεσκεύασας ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, Καὶ διέπῃ τὸν κόσμον 3.
ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ· Δός μοι τὴν τῶν σῶν θρόνων 4.
πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου. Ὅτι ἐγὼ δȣ̃λος σὸς καὶ υἱὸς τῆς 5.
παιδίσκης σου, ἄνθρωπος ἀσθενὴς καὶ ὀλιγοχρόνιος, καὶ ἐλάσσων ἐν συνέσει κρίσεως καὶ νόμων.
Κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σȣ̃ σοφίας ἀπȣ́σης, εἰς ȣ̓δὲν λογισθήσεται. 6.
Σύ με προείλω βασιλέα λαοῦ σου, καὶ δικαςὴν υἱῶν σου καὶ θυγατέρων. Εἶπας οἰκοδομῆσαι 7. 8.
ναὸν ἐν ὄρει ἁγίῳ σου, καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαςήριον, μίμημα σκηνῆς ἁγίας ἣν
προητοίμασας ἀπʼ ἀρχῆς. Καὶ μετὰ σȣ̃ ἡ σοφία ἡ εἰδυῖα τὰ ἔργα σου, καὶ παρȣ̃σα ὅτε ἐποί- 9.
εις τὸν κόσμον, καὶ ἐπιςαμένη τί ἀρεςὸν ἐν ὀφθαλμοῖς σȣ, καὶ τί εὐθὲς ἐν ἐντολαῖς σȣ. Ἐξαπό- 10.
ςειλον αὐτὴν ἐξ ἁγίων ȣ̓ρανῶν, καὶ ἀπὸ θρόνου δόξης σȣ πέμψον αὐτὴν, ἵνα συμπαρȣ̃σά μοι κο-
πιάσῃ, καὶ γνῶ τι εὐάρεςόν ἐςι παρὰ σοί. Οἶδε γὰρ ἐκείνη πάντα καὶ συνιεῖ, καὶ ὁδηγήσει με 11.
ἐν ταῖς πράξεσί μȣ σωφρόνως, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. Καὶ ἔςαι προσδεκτὰ τὰ ἔργα 12.
μου, καὶ διακρινῶ τὸν λαόν σου δικαίως, καὶ ἔσομαι ἄξιος θρόνων πατρός μȣ. Τίς γὰρ ἄνθρω- 13.
πος γνώσεται βȣλὴν Θεȣ̃; ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ Κύριος; Λογισμοὶ γὰρ θνητῶν δει- 14.
λοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν. Φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχὴν, καὶ βρίθει τὸ γε- 15.
ῶδες σκῆνος νȣ̃ν πολυφροντίδα. Καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν 16.
μετὰ πόνου· τὰ δὲ ἐν ȣ̓ρανοῖς τίς ἐξιχνίασε; Βȣλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ ἔδωκας σοφίαν, 17.

XIV. ὑποταγήσεται] υποταγησονται 106, 248, 261. Compl.

XVI. ἔχει πικρίαν] επι πικριαν 296. ἡ συναναςροφὴ αὐτῆς] παροικία αὐτῆς 5 Codices Sergii. συνοικία αὐτῆς 5 Codices Sergii. ȣ̓δὲ ὀδύνην ἡ συμβ. αὐτῆς] ^ 106, 261. ἡ συμβίωσις αὐτῆς] ^ αυτης 254.

XVII. ἐν ἐμαυτῷ] ^ εν 106. ἐςὶν ἀθανασία] tr. 23, 55, 157, 248, 253, 254. Compl. Alex. ἐςὶν ἀθανασία ἐν συγγενείᾳ] αθανασια εςιν ἡ συγγενεια 106. ἐν συγγενείᾳ] εν ευγενεια 248. ἡ συγκαινία (sic) 261.

XVIII. ἐν φιλίᾳ αὐτῆς] εν φιλια σοφιας 253. τέρψις ἀγαθὴ —ὁμιλίας αὐτῆς] ^ cum intermed. 261. καὶ ἐν πόνοις] ^ εν 157. χειρῶν αὐτῆς] εργων χειρων αυτης 23, 253. πλȣ̃τος ἀνεκλιπὴς] πλȣτος ανελλιπης 106, 157. καὶ ἐν συγγυμνασίᾳ] και εν γυμνασια 157. ὁμιλίας] ομιλια 106, 157. ἐν κοινωνίᾳ] ^ εν 23. περιήειν] περιηει 261. ζητῶν] + αυτην 23. ^ 157. εἰς ἐμαυτόν] προς εμαυτον 106, 157, 261. Compl.

XIX. ψυχῆς τε] ψυχης δε 55, 106, 261.

XXI. φρονήσεως] + τελειοτης 55, 254. ἡ χάρις] ἣ χάρις (cum ἣ in charact. minore) Alex.

I. πατέρων] πατερ 261. τȣ̃ ἐλέȣς σȣ] ^ σȣ 106, 248, 254, 261. Compl.

II. κατεσκεύασας] κατασκευασας 55, 106, 157, 248, 253, 254, 261, 296. Compl. Ald. Alex. ἄνθρωπον] præmitt. τον 248, 261. Compl. Ald. Athan. i. 406. Basil. M. i. 297.

III. κρίσιν κρίνῃ] κρισιν κριναι 157. κρισιν κρινεῖ 296.

VI. Κἂν γάρ τις] εαν γαρ τις 55, 157. ᾖ τέλειος] ειη τελειος 106, 261. ᾖ τέλειος ἐν πίςει Origen. iii. 467. (Cf. i. 639. et quæ sequuntur in loc. cit.) ἀπὸ σȣ̃] παρὰ σȣ̃ Chrysost. vi. 434. σοφίας ἀπȣ́σης] δυνάμεως ἀπȣ́σης Origen. l. cit.

VII. Σύ με προείλω] συ προειλȣ με (marg. ab al. m. προεκρινας) 106. προείλω] προειλου 23, 55, 157, 248. Compl. καὶ θυγατέρων] + σȣ in charact. minore Alex.

VIII. κατασκηνώσεώς σȣ] κατασκηνεσεως σȣ III. ἣν προητοίμ.] ἧς προητοιμ. 55, 254.

IX. ἡ εἰδυῖα] ^ ἡ 106, 261. ὅτε ἐποίεις] ὅτε ἐποίης τε (sic) 248. ἐν ὀφθαλμοῖς σου] ενωπιον σȣ 248. καὶ τί εὐθὲς] και τι αρεςον και ευθες 157.

X. ἐξ ἁγίων ȣ̓ρανῶν] εξ αγιων σȣ ȣρανων 157. καὶ ἀπὸ θρόνου] και απο θρονων 157. κοπιάσῃ] ^ 106, 261. εὐάρεςόν ἐςι] ^ εςι 106. αρεςον εςι 296.

XI. πάντα] τα παντα 55, 106, 248, 254, 261.

XIII. Τίς γὰρ ἄνθρωπος] τις γαρ ανθρωπων 248. Compl. ὁ Κύριος] ὁ Θεός Compl. Ald.

XIV. Λογισμοὶ] præmitt. ἐπεὶ Origen. i. 196. θνητῶν] ἀνθρώπων Chrysost. i. 277. et al. Theodoret. ii. 5. αἱ ἐπίνοιαι ἡμῶν] αἱ ἐπίνοιαι αὐτῶν Chrysost. Theodoret. l. cit.

XV. καὶ βρίθει] και βρυθει 261. σκῆνος] σωμα 106, 261.

XVI. Καὶ μόλις] και μογις 261. Alex. Origen. l. cit. καὶ τὰ —μετὰ πόνου] ^ cum intermed. Origen. l. cit. ἐν χερσὶν] εν ποσιν 23. τὰ δὲ ἐν ȣ̓ρανοῖς] τα τε εν ȣρανοις 248. τίς ἐξιχνίασε] τις εξιχνιασει 106, 261.

XVII. σὺ ἔδωκας] σὺ δέδωκας Ald.

ΣΟΦΙΑ ΣΑΛΩΜΩΝ.

ΚΕΦ. IX.

18. καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ ὑψίστων; Καὶ οὕτως διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ γῆς,
καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι, καὶ τῇ σοφίᾳ ἐσώθησαν.

ΚΕΦ. X.

1. ΑΥΤΗ πρωτόπλαστον πατέρα κόσμου μόνον κτισθέντα διεφύλαξε, καὶ ἐξείλατο αὐτὸν ἐκ πα-
2. 3. ραπτώματος ἰδίου, Ἔδωκέ τε αὐτῷ ἰσχὺν κρατῆσαι ἁπάντων. Ἀποστὰς δὲ ἀπ' αὐτῆς ἄδικος ἐν
4. ὀργῇ αὐτοῦ, ἀδελφοκτόνοις συναπώλετο θυμοῖς, Δι' ὃν κατακλυζομένην γῆν πάλιν διέσωσε σοφία,
5. δι' εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα. Αὕτη καὶ ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων
εὗρε τὸν δίκαιον, καὶ ἐτήρησεν αὐτὸν ἄμεμπτον Θεῷ, καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλα-
6. ξεν. Αὕτη δίκαιον, ἐξαπολλυμένων ἀσεβῶν, ἐῤῥύσατο φυγόντα πῦρ καταβάσιον Πενταπόλεως·
7. Οἷς ἐπὶ μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε χέρσος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα
8. φυτά· ἀπιστούσης ψυχῆς μνημεῖον ἑστηκυῖα στήλη ἁλός. Σοφίαν γὰρ παροδεύσαντες οὐ μόνον ἐβλά-
βησαν τοῦ μὴ γνῶναι τὰ καλὰ, ἀλλὰ καὶ τῆς ἀφροσύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον, ἵνα ἐν οἷς
9. ἐσφάλησαν μηδὲ λαθεῖν δυνηθῶσι. Σοφία δὲ τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο.
10. Αὕτη φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον ὡδήγησεν ἐν τρίβοις εὐθείαις, ἔδειξεν αὐτῷ βασιλείαν Θεοῦ,
11. καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων, εὐπόρησεν αὐτὸν ἐν μόχθοις, καὶ ἐπλήθυνε τοὺς πόνους αὐτοῦ. Ἐν
12. πλεονεξίᾳ κατισχυόντων αὐτὸν παρέστη, καὶ ἐπλούτισεν αὐτόν. Διεφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν,
καὶ ἀπὸ ἐνεδρευόντων ἠσφαλίσατο, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτῷ, ἵνα γνῷ, ὅτι παντὸς
13. δυνατωτέρα ἐστὶν εὐσέβεια. Αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλιπεν, ἀλλὰ ἐξ ἁμαρτίας ἐῤῥύ-
14. σατο αὐτόν· συγκατέβη αὐτῷ εἰς λάκκον, Καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτὸν, ἕως ἤνεγκεν αὐτῷ
σκῆπτρα βασιλείας καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ· ψευδεῖς τε ἔδειξε τοὺς μωμησαμένους αὐτὸν,
15. καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον. Αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον ἐῤῥύσατο ἐξ ἔθνους θλι-
16. βόντων. Εἰσῆλθεν εἰς ψυχὴν θεράποντος Κυρίου, καὶ ἀντέστη βασιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ
17. σημείοις. Ἀπέδωκεν ὁσίοις μισθὸν κόπων αὐτῶν, ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ, καὶ ἐγένετο
18. αὐτοῖς εἰς σκέπην ἡμέρας, καὶ εἰς φλόγα ἄστρων τὴν νύκτα. Διεβίβασεν αὐτοὺς θάλασσαν ἐρυ-
19. θρὰν, καὶ διήγαγεν αὐτοὺς δι' ὕδατος πολλοῦ. Τοὺς δὲ ἐχθροὺς αὐτῶν κατέκλυσε, καὶ ἐκ βάθους
20. ἀβύσσου ἀνέβρασεν αὐτούς. Διὰ τοῦτο δίκαιοι ἐσκύλευσαν ἀσεβεῖς, καὶ ὕμνησαν Κύριε τὸ ὄνομα τὸ
21. ἅγιόν σου, τήν τε ὑπέρμαχόν σου χεῖρα ᾔνεσαν ὁμοθυμαδόν. Ὅτι ἡ σοφία ἤνοιξε στόμα κωφῶν,
καὶ γλώσσας νηπίων ἔθηκε τρανάς.

XVIII. ἀρεστά σου] αρεστα σοι 248. Compl. καὶ τῇ σοφίᾳ] + σου 106, 296. και τη ση σοφια 254. ἐσώθησαν] εσταθησαν 55.

I. Αὕτη] αυτο 261. καὶ ἐξείλατο] και εξετεινα 68. Ald. και εξιλασατο 157.

II. Ἔδωκέ τε] εδωκε δε 106, 261. ἁπάντων] παντων 106, 157, 248, 261. Alex.

IV. Δι' ὃν] διὸ 106, 261. διέσωσε] εσωσεν 23, 55, 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. Origen. iv. 312.

V. πονηρίας] ^ 157. ἐθνῶν συγχυθέντων] εθνων συσχεθεντων 261. εὗρε] εγνω 23, 55, 106, 157, 248, 253, 254, (261. ut videtur: ſcr. εγνον) 296. Compl. Alex. Origen. i. 599. καὶ ἐτήρησεν] και εφυλαξεν 23. Origen. l. cit. και ετηρησαν 261. Θεῷ] τω Θεω 261. Compl. Origen. l. cit. ἐπὶ τέκνου] επι τεκνοις 106, 261. σπλάγχνοις] σπλαγχνων 23. σπλαγχνον 106.

VI. πῦρ καταβάσιον] tr. 23, 55, 157, 248, 253, 254, 296. Compl. Alex. Chryſoſt. vi. 297. ^ καταβασιον 106, 261.

VII. Οἷς ἐπὶ] ης εστιν 23. ἧς ετι 55, 68, 106, 157, 248, 253, 254, 261, 296. Compl. Ald. Alex. ὧν ἔτι Origen. l. cit. Οἷς ἐπὶ μαρτ. τῆς πονηρ.] αὕτη καὶ νῦν εἰς ἔτι μαρτύριον τῆς πονηρίας Chryſoſt. l. cit. ἀπιστούσης ψυχῆς] præmitt. και 106, 261. (Alex. in char. min.) μνημεῖον] μνημοσυνον 106, 261. σημειον 248.

VIII. παροδεύσαντες] + ανθρωποι 55, 254. præmitt. οὐ 261. τὰ καλὰ] αὐτὰ καλὰ Ald. τῆς ἀφροσύνης] της ευφροσυνης 106. της εαυτων αφροσυνης 157, 248. Compl. (Alex. cum ἑαυτῶν in char. minore.) ἀπέλιπον] απελειπον 248, 296. Compl. ἐν οἷς] εφ' οἷς 23.

IX. τοὺς θεραπεύσαντας] τους θεραπευοντας 55, 106, 157, 248, 253, 261, 296. Compl. Alex.

X. ἐν τρίβοις] ^ εν 23. καὶ ἔδωκεν] και εδειξεν 106, 261. γνῶσιν ἁγίων] γνωσιν αγιου 23, 253. εὐπόρησεν] εὐπόρισεν Compl. Alex. εὐπόρ. αὐτὸν ἐν μόχθ.] εὐώδωσεν αὐτῷ ἐργασίας ἐκ μόχθων αὐτοῦ 8 Codices Sergii. τοὺς πόνους—κατισχυόντων in com. ſeq.] τους κοπους αυτου εν πλεονεξια· κατισχυοντων (ſic) 106. τοὺς πόνους αὐτοῦ] τους κοπους αυτου III, 23, 253.

XI. αὐτὸν] αυτου 261.

XII. Διεφύλαξεν] præmitt. και 23, 248. ἐβράβ. αὐτῷ] εβραβ. αυτον 261. παντὸς δυνατώτερα] tr. 106. εὐσέβεια] præmitt. ἡ 157, 248, 254, 296. Compl. Alex.

XIII. οὐκ ἐγκατέλιπεν] ουκ εγκατελειπεν 248. Compl. Alex. εἰς λάκκον] εις τον λακκον 106.

XIV. ἕως ἤνεγκεν—τυραννούντων αὐτοῦ] ^ cum intermed. 253. σκῆπτρα βασιλείας] σκηπτρα βασιλεων 261. τυραν. αὐτοῦ] τυραν. αυτον 23, 106, 157, 254, 261. ψευδεῖς τε] ψευδεις δε 248. Compl. ψευδεῖς τε—μωμησ. αὐτὸν] ^ (106. habet in marg. ab al. m. *et mendaces oſtendit qui maculaverunt illum.*) 261.

XV. καὶ σπέρμα ἄμεμπτον] και σπερμα οσιον 261.

XVI. βασιλεῦσι φοβεροῖς] βασιλευσιν ισχυροις και φοβεροις 106, 261.

XVII. ὁσίοις μισθὸν] tr. III, 55, 254, 296. μισθον οσιον 106, 261. + οσιοτητος 248. Compl.

XIX. κατέκλυσε] κατεκλυσαν III. ἀνέβρασεν] ανεβρυσεν 106.

XX. τὸ ὄνομα τὸ ἅγιόν σου] το αγιον ονομα σου 296. τὸ ἅγιόν σου] σου το αγιον 55, 253. ^ το αγιον 157.

ΚΕΦ. XI.

Εὐόδωσε τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτου ἁγίου. Διώδευσαν ἔρημον ἀοίκητον, καὶ ἐν ἀβά- 1. 2.
τοις ἔπηξαν σκηνάς. Ἀντέστησαν πολεμίοις, καὶ ἠμύναντο ἐχθρούς. Ἐδίψησαν καὶ ἐπεκαλέ- 3. 4.
σαντό σε, καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ, καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ. Δι' 5.
ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν, διὰ τούτων αὐτοὶ ἀποροῦντες εὐεργετήθησαν. Ἀντὶ μὲν 6.
πηγῆς ἀενάου ποταμοῦ αἵματι λυθρώδει ταραχθέντες Εἰς ἔλεγχον νηπιοκτόνου διατάγματος, 7.
ἔδωκας αὐτοῖς δαψιλὲς ὕδωρ ἀνελπίστως· Δείξας διὰ τοῦ τότε δίψους πῶς τοὺς ὑπεναντίους ἐκόλα- 8.
σας. Ὅτε γὰρ ἐπειράσθησαν, καίπερ ἐν ἐλέει παιδευόμενοι, ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι 9.
ἀσεβεῖς ἐβασανίζοντο. Τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας, ἐκείνους δὲ ὡς ἀπότομος 10.
βασιλεὺς καταδικάζων ἐξήτασας. Καὶ ἀπόντες δὲ καὶ παρόντες ὁμοίως ἐτρύχοντο. Διπλῆ γὰρ 11. 12.
αὐτοὺς ἔλαβε λύπη, καὶ στεναγμὸς μνημῶν τῶν παρελθουσῶν. Ὅτε γὰρ ἤκουσαν διὰ τῶν ἰδίων κο- 13.
λάσεων εὐεργετουμένους αὐτούς, ᾔσθοντο τοῦ Κυρίου. Τὸν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφέντα ἀπεῖπον 14.
χλευάζοντες, ἐπὶ τέλει τῶν ἐκβάσεων ἐθαύμασαν, οὐχ ὅμοια δικαίοις διψήσαντες. Ἀντὶ δὲ λο- 15.
γισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν, ἐν οἷς πλανηθέντες ἐθρήσκευον ἄλογα ἑρπετὰ καὶ κνώδαλα εὐ-
τελῆ, ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζώων εἰς ἐκδίκησιν, Ἵνα γνῶσιν ὅτι δι' ὧν τις ἁμαρ- 16.
τάνει, διὰ τούτων κολάζεται. Οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ καὶ κτίσασα τὸν κόσμον 17.
ἐξ ἀμόρφου ὕλης, ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκων, ἢ θρασεῖς λέοντας, Ἢ νεοκτίστους θυμοῦ 18.
πλήρεις θῆρας ἀγνώστους, ἤτοι πυρπνόον φυσῶντας ἆσθμα, ἢ βρόμους λικμωμένους καπνοῦ, ἢ δει-
νοὺς ἀπ' ὀμμάτων σπινθῆρας ἀστράπτοντας· Ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο συνεκτρίψαι αὐτούς, 19.
ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι. Καὶ χωρὶς δὲ τούτων, ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο ὑπὸ 20.
τῆς δίκης διωχθέντες, καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου· ἀλλὰ πάντα μέτρῳ καὶ
ἀριθμῷ καὶ σταθμῷ διέταξας. Τὸ γὰρ μεγάλως ἰσχύειν πάρεστί σοι πάντοτε, καὶ κράτει βρα- 21.
χίονός σου τίς ἀντιστήσεται; Ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον σου, καὶ ὡς ῥανὶς 22.
δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν. Ἐλεεῖς δὲ πάντας, ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρ- 23.
τήματα ἀνθρώπων εἰς μετάνοιαν. Ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ ὧν ἐποίησας, 24.
οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας. Πῶς δὲ ἔμεινεν ἄν τι εἰ μὴ σὺ ἠθέλησας; ἢ τὸ μὴ κληθὲν 25.
ὑπὸ σοῦ διετηρήθη; Φείδῃ δὲ πάντων, ὅτι σά ἐστι, Δέσποτα φιλόψυχε. 26.

ΚΕΦ. XII.

Το γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσι. Διὸ τοὺς παραπίπτοντας κατ' ὀλίγον ἐλέγχεις, 1. 2.

I. τὰ ἔργα αὐτῶν] τα εργα αυτου III. προφήτου ἁγίου] προφητων αγιων III.

III. ἠμύναντο ἐχθρούς] tr. 23, 55, 106, 157, 248, 253, 254, 296. Compl. Alex.

V. Δι' ὧν γὰρ] ∧ γαρ 106, 261. ἀποροῦντες] απορουντων 261.

VI. Ἀντὶ μὲν] præmitt. ων 23. λυθρώδει] λυτρώδει Ald. λυθρ. ταραχθ.] λυθρω διαταραχθεντες 23. ταραχθέντες] ταραχθεντος 157, 253. Alex.

VII. Εἰς ἔλεγχον] εις επαινον 106, 261. δαψιλὲς] ∧ 106, 261.

IX. Ὅτε γὰρ] οτι γαρ 106. πῶς ἐν ὀργῇ &c. ad fin. com.] πῶς ὀργῇ ἐπαιδεύθησαν ἀσεβεῖς Codex unus Sergii. ἐν ὀργῇ] μετ' οργης 23, 106, 253, 261. κρινόμενοι ἀσεβεῖς] κρινομενοι εγνωντο πως μετ' οργης κρινομενοι ασεβεις 261.

X. Τούτους μὲν—ἐδοκίμασας] ∧ cum intermed. (106. in marg. habetur ab al. m. *hos quidem tanquam pater monens probasti.*) 261. ἐκείνους δὲ] εκεινοις δε 106, 261.

XII. μνημῶν] μνημη 296. τῶν παρελθουσῶν] των παρελθοντων 23, 106, 157, 248, 261, 296. Compl. Alex. των παρεληλυθοτων 55, 254.

XIII. εὐεργετουμένους] ευηργετημενους 55. Alex. ᾔσθοντο τοῦ Κυρίου] ησθοντος σου Κυριε 23. ησθοντο σου Κυριε 253.

XIV. Τὸν γὰρ] ὃν γαρ 55, (106. ante ὃν sunt 3 puncta ab al. m. et in marg. sic: *amirantes in finem exitus.*) 248. Compl. Alex. Τὸν γὰρ—πάλαι] ὃν γὰρ ἐν ἐχθὲς ἢ πάλαι (sic) 254. πάλαι] παλιν 23. παλαια 157. ἀπεῖπον] αππον (sic) 23. ἐθαύμασαν] ἐθαύμαζον Alex. διψήσαντες] ψηφισαντες 106, 261.

XV. ἐθρήσκευον] εθρησκευσαν 296. κνώδαλα] κλωδαλα III. γνώδαλα Ald. ἐπαπέστειλας] ἐπαποστεῖλαι 106, 261.

XVI. δι' ὧν τις ἁμαρτ.] δι' ὧν καὶ τις ἁμαρτ. Athan. i. 1025. et al. ἁμαρτάνει, διὰ τούτων κολάζεται] ∧ 261. κολάζεται] præmitt. και 23, 253. Athan. l. cit.

XVII. καὶ κτίσασα] ἡ και κτισασα 23, ἡ κτισασα 106, 261. πλῆθος ἄρκων] præmitt. ἢ 296. Alex.

XVIII. Ἢ νεοκτίστους] ἢ νεοκτιστου III, 106, 157, 248. Compl. πλήρεις] πληρης 106. πυρπνόον] πυρφόρον 106. πυρφορων 261. πυρ πνεον 296. φυσῶντας] φυσωντα 261. ἆσθμα] ασθματα 261. ἢ βρόμους] ἢ βρομον 23, 55, 253, 254, 296. Compl. ἢ βρομων (scr. βρωμων) 106, 261. λικμωμένους] λικμωμενου 248. Compl.

XIX. συνεκτρίψαι] εκτριψαι 55, (106, 261. scr. εκτρεψαι) 157, 248, 254, 296. Alex.

XX. ἑνὶ πνεύματι] εν πνευματι 55. præmitt. εν 253. (Alex. in charact. minore.) ἐδύναντο] ηδυνατο 157. διωχθ. καὶ λικμηθ.] λικμηθ. και διωχθ. 106. καὶ ἀριθμῷ] ∧ 106. καὶ σταθμῷ] ∧ 261.

XXI. πάρεστί σοι] tr. 23, 55, 157, 248, 253, 254, 296. Compl. Alex. παρεστη σοι 261. ἀντιστήσεται] υποστησεται 55, 254.

XXII. ὀρθρινὴ] ορθρινης 55, 254. ἐπὶ γῆν] επι γης 106, 261. επι την γην 157, 248, 296. Compl.

XXIII. Ἐλεεῖς δὲ] ἐλεεῖς γὰρ Chrysost. xi. 225. πάντα δύνασαι] tr. 106. καὶ παρορᾷς—πάντα in com. seq.] ∧ cum intermed. (supplentur in marg. ab al. m. *absque ullo discrimine*) 106.

XXIV. καὶ οὐδὲν] και ουδενα III. οὐδὲ γὰρ ἂν] ∧ αν 157.

XXV. ἔμεινεν] διεμεινεν 106, 253, 261. Alex. ἢ τὸ μὴ κληθὲν] ἢ τὸ μὴ βληθὲν Didym. de Trin. p. 149. διετηρήθη] πως αν διετηρηθη 23, 55, 253, 254.

XXVI. πάντων] παντα 261. ὅτι σά ἐστι] οτι σα εστι παντα 55, 157, 254, 296. Alex. Origen. i. 521. ὅτι πάντα σά ἐστιν Didym. de Trin. l. cit.

I. Τὸ γὰρ ἄφθαρτον] καὶ τὸ ἄφθαρτον Didym. de Trin. l. cit. et al. ἐν πᾶσι] ∧ ἐν Compl.

ΚΕΦ. XII.

καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ
3. 4. σὲ Κύριε. Καὶ γὰρ τοὺς παλαιοὺς οἰκήτορας τῆς ἁγίας σου γῆς μισήσας, Ἐπὶ τῷ ἔχθιστα πράσ-
5. σειν ἔργα φαρμακειῶν, καὶ τελετὰς ἀνοσίους, Τέκνων τε φονέας ἀνελεήμονας, καὶ σπλαγχνοφά-
6. γων ἀνθρωπίνων σαρκῶν θοίναν, καὶ αἵματος Ἐκ μέσου μυσταθείας σου, καὶ αὐθέντας γονεῖς ψυ-
7. χῶν ἀβοηθήτων, ἐβουλήθης ἀπολέσαι διὰ χειρῶν πατέρων ἡμῶν· Ἵνα ἀξίαν ἀποικίαν δέξηται Θεοῦ
8. παίδων ἡ παρὰ σοὶ πασῶν τιμιωτάτη γῆ. Ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἐφείσω, ἀπέστειλάς
9. τε προδρόμους τοῦ στρατοπέδου σου σφῆκας, ἵνα αὐτοὺς καταβραχὺ ἐξολοθρεύσωσιν. Οὐκ ἀδυνα-
τῶν ἐν παρατάξει ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι, ἢ θηρίοις δεινοῖς, ἢ λόγῳ ἀποτόμῳ ὑφ᾽ ἓν
10. ἐκτρίψαι· Κρίνων δὲ καταβραχὺ ἐδίδους τόπον μετανοίας, οὐκ ἀγνοῶν, ὅτι πονηρὰ ἡ γένεσις αὐ-
11. τῶν, καὶ ἔμφυτος ἡ κακία αὐτῶν, καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα· Σπέρ-
12. μα γὰρ ἦν κατηραμένον ἀπ᾽ ἀρχῆς· οὐδὲ εὐλαβούμενός τινα, ἐφ᾽ οἷς ἡμάρτανον ἄδειαν ἐδίδους. Τίς
γὰρ ἐρεῖ, Τί ἐποίησας; ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου; τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν
ἀπολωλότων, ἃ σὺ ἐποίησας; ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων;
13. 14. Οὔτε γὰρ Θεός ἐστι πλὴν σοῦ, ᾧ μέλει περὶ πάντων, ἵνα δείξῃς ὅτι οὐκ ἀδίκως ἔκρινας. Οὔτε
15. βασιλεὺς ἢ τύραννος ἀντοφθαλμῆσαι δυνήσεταί σοι περὶ ὧν ἀπώλεσας. Δίκαιος δὲ ὢν δικαίως
τὰ πάντα διέπεις, αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι καταδικάσαι ἀλλότριον ἡγούμενος τῆς σῆς
16. δυνάμεως. Ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχὴ, καὶ τὸ πάντων σε δεσπόζειν, πάντων φείδεσθαι
17. ποιεῖ. Ἰσχὺν γὰρ ἐνδείκνυσαι ἀπιστούμενος ἐπὶ δυνάμεως τελειότητι, καὶ ἐν τοῖς εἰδόσι τὸ θρά-
18. σος ἐξελέγχεις. Σὺ δὲ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ κρίνεις, καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς
19. ἡμᾶς· πάρεστι γάρ σοι ὅταν θέλῃς τὸ δύνασθαι. Ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων
ἔργων, ὅτι δεῖ τὸν δίκαιον εἶναι φιλάνθρωπον· καὶ εὐέλπιδας ἐποίησας τοὺς υἱούς σου, ὅτι δίδως ἐπὶ
20. ἁμαρτήμασι μετάνοιαν. Εἰ γὰρ ἐχθροὺς παίδων σου καὶ ὀφειλομένους θανάτῳ μετὰ τοσαύτης
21. ἐτιμώρησας προσοχῆς καὶ δεήσεως, δοὺς χρόνους καὶ τόπον δι᾽ ὧν ἀπαλλαγῶσι τῆς κακίας· Μετὰ
πόσης ἀκριβείας ἔκρινας τοὺς υἱούς σου, ὧν τοῖς πατράσιν ὅρκους καὶ συνθήκας ἔδωκας ἀγαθῶν ὑπο-
22. σχέσεων; Ἡμᾶς οὖν παιδεύων, τοὺς ἐχθροὺς ἡμῶν ἐν μυριότητι μαστιγοῖς, ἵνα σου τὴν ἀγαθότητα
23. μεριμνῶμεν κρίνοντες, κρινόμενοι δὲ προσδοκῶμεν ελεος. Ὅθεν καὶ τοὺς ἐν ἀφροσύνῃ ζωῆς βιώ-
24. σαντας ἀδίκους, διὰ τῶν ἰδίων ἐβασάνισας βδελυγμάτων. Καὶ γὰρ τῶν πλάνης ὁδῶν μακρότερον
ἐπλανήθησαν, θεοὺς ὑπολαμβάνοντες τὰ καὶ ἐν ζώοις τῶν ἐχθρῶν ἄτιμα, νηπίων δίκην ἀφρόνων
25. 26. ψευσθέντες. Διὰ τοῦτο ὡς παισὶν ἀλογίστοις τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας. Οἱ δὲ παι-

II. ἁμαρτάνουσιν] αμαρτανωσιν 248. Compl. πιστεύσωσιν] πιστευσωμεν III.

III. τοὺς παλαιοὺς] τους παλαι 106.

V. καὶ σπλαγχνοφάγων] και σπλαγχνοφαγον 106. καὶ σπλαγχνοφάγους Compl. 12 Codices Sergii. θοίναν] θοινων 55, 254. θοίναν, καὶ αἵματος] καὶ θοίναν αἵματος Compl. καὶ αἵματος] και αιμα 157.

VI. Ἐκ μέσου μυσταθ. σου] ἐκ μύσου μυστάς τε θείας σου Ald. μυσταθείας σου] μυστας θιασου 55, 106, 253, 254. (296. ſcr. θειασου.) Alex. μύστας θείας σου Compl. καὶ αὐθέντας] και λυθεντας 106, 261. γονεῖς] ^ 68. διὰ χειρῶν] δια χειρος 55, 106, 254, 261.

VII. Θεοῦ παίδων] Θεου παιδιων 55, 254. præmitt. και 106, 261.

VIII. τούτων] τουτων μεν 106, 261. ἀπέστειλάς τε] ^ τε 23. τοῦ στρατοπέδου] τους στρατοπεδους 253. τοῦ στρατοπ. σου σφῆκας] του στρατοπ. σου αφηκας 106, 261. τοὺς στρατοπέδους σου ἐφῆκας Ald. ἐξολοθρεύσωσιν] εξολοθρευσουσιν 106.

IX. δικαίοις] δικαιους 261. ἢ λόγῳ &c. ad fin. com.] ἢ λόγῳ ὑφ᾽ ἓν συντόμους ἐκτρίψαι 10 Codices Sergii.

X. ἀλλαγῇ] ἀλλαγὴ (ſic) 106.

XII. Τίς γὰρ ἐρεῖ] τίς ἐρεῖ αὐτῷ Clem. Rom. Ep. ad Corinth. 1. §. 27. ἢ τίς 1°—ἢ τίς 2°] ^ alterutr. cum intermed. 261. τῷ κρίματί σου] τῷ κράτει τῆς ἰσχύος αὐτοῦ Clem. Rom. l. cit. (Cf. Libr. Sap. c. xi. v. 21.) ἐγκαλέσει σοι] εγκαλεσει σου 23. κατὰ ἐθνῶν] ^ κατα 248. εἰς κατάστασιν] εις καταζητησιν 23. σοι ἐλεύσεται] tr. 23, 157, 253. ^ σόι. 106.

XIV. Οὔτε βασιλεὺς] οὐ δε βασιλευς 55, 254. ουτε γαρ βασιλευς 106, 261. δυνήσεταί σοι] δυνησονται σοι 106, 261. ἀπώλεσας] εκολασας III, 23, 55, 68, 106, 157, 248, 253, 254, 296. Compl. Ald. εκωλυσας 261.

XV. δικαίως τὰ πάντα] τα παντα δικαιως 106. κολασθῆναι] ^ 106. καταδικασθηναι 248.

XVI. σε δεσπόζειν] ^ σε 23. φείδεσθαι ποίει] φειδεσθαι σε ποιει 55, 106, 157, 248, 254, 261, 296. Compl. Alex.

XVII. Ἰσχὺν—ἀπιστούμενος] ἐνδείκνυσαι ἰσχὺν ἐπ᾽ ὀλιγόπιστον 10 Codices Sergii. ἐνδείκνυσαι] ἐκδείκνυσαι Compl. ἀπιστούμενος] præmitt. οτι III. ὁ απιστουμενος 55, 106, 254. (Alex. cum ὁ in char. minore.) ἐν τοῖς εἰδόσι] + σου 55, 254. ἐν τοῖς οὐκ εἰδόσι σε (cum σε in charact. minore) Alex. τὸ θράσος] ^ το 157. το θαρσος 248. Compl.

XVIII. Σὺ δὲ] ^ δε 23, 106, 254, 261, 296. ἐν ἐπιεικείᾳ] ^ εν 296. ὅταν θέλῃς] οτι θελεις 106. οτε θελης 261.

XIX. τὸν δίκαιον] ^ τὸν Ald. ὅτι δίδως] οτι διδοις 68. Ald. Alex.

XX. ἐτιμώρησας] ετιμωρησω 55, 106, 157, 248. 254, 261. Compl. Alex. καὶ δεήσεως] ^ 106, 157, 248, 254, 261. Compl. Alex. και διεσωσας 296. δοὺς] + αυτοις 23. χρόνους καὶ τόπον] τοπον και χρονον 23. χρονον και τοπον 55, 106, 254, 261, 296. Alex. χρονον και τροπον 248. Compl.

XXI. Μετὰ πόσης] μετα πασης 253. ἔκρινας] κρινεις 23. ἔδωκας] ponit ſtatim poſt ορκους 106. ^ 248.

XXII. ἐν μυριότητι] εν μυριοτησι 106, 261. ἔλεος] ελεον 23.

XXIII. ζωῆς] ^ 23. ἀδίκους] αδικως 23, 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. ἐβασάνισας] εβασανισε 68. Ald.

XXIV. τὰ καὶ—ἄτιμα] οὓς καὶ ἐν ζώοις μετ᾽ ἐχθρῶν ἠθέτουν Codex unus Sergii. ſic, ſine μετ᾽, 8 Codices Sergii. τῶν ἐχθρῶν] των αισχρων 254.

ΚΕΦ. XII.

γνίοις ἐπιτιμήσεως μὴ νουθετηθέντες, ἀξίαν Θεοῦ κρίσιν πειράσουσιν. Ἐφ᾽ οἷς γὰρ αὐτοὶ πά- 27.
σχοντες ἠγανάκτων, ἐπὶ τούτοις οὓς ἐδόκουν θεοὺς, ἐν αὐτοῖς κολαζόμενοι, ἰδόντες ὃν πάλαι ἠρνοῦντο
εἰδέναι, Θεὸν ἐπέγνωσαν ἀληθῆ· διὸ καὶ τὸ τέρμα τῆς καταδίκης ἐπ᾽ αὐτοὺς ἐπῆλθε.

ΚΕΦ. XIII.

ΜΑΤΑΙΟΙ μὲν γὰρ πάντες ἄνθρωποι φύσει, οἷς παρῆν Θεοῦ ἀγνωσία, καὶ ἐκ τῶν ὁρωμένων 1.
ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα, οὔτε τοῖς ἔργοις προσχόντες ἐπέγνωσαν τὸν τεχνίτην.
Ἀλλ᾽ ἢ πῦρ, ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα, ἢ κύκλον ἄστρων, ἢ βίαιον ὕδωρ, ἢ φωστῆρας οὐρανοῦ, 2.
πρυτάνεις κόσμου θεοὺς ἐνόμισαν. Ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι, θεοὺς ὑπελάμβανον, γνώ- 3.
τωσαν πόσῳ τούτων ὁ δεσπότης ἐστὶ βελτίων· ὁ γὰρ τοῦ κάλλους γενεσιάρχης ἔκτισεν αὐτά. Εἰ 4.
δὲ δύναμιν καὶ ἐνέργειαν ἐκπλαγέντες, νοησάτωσαν ἀπ᾽ αὐτῶν πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνα-
τώτερός ἐστιν. Ἐκ γὰρ μεγέθους καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. 5.
Ἀλλ᾽ ὅμως ἐπὶ τούτοις ἐστὶ μέμψις ὀλίγη, καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται Θεὸν ζητοῦντες, καὶ 6.
θέλοντες εὑρεῖν. Ἐν γὰρ τοῖς ἔργοις αὐτοῦ ἀναστρεφόμενοι διερευνῶσι, καὶ πείθονται τῇ ὄψει, 7.
ὅτι καλὰ τὰ βλεπόμενα. Πάλιν δὲ οὐδ᾽ αὐτοὶ συγγνωστοί. Εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδέναι, ἵνα 8. 9.
δύνωνται στοχάσασθαι τὸν αἰῶνα, τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὗρον; Ταλαίπωροι δὲ 10.
καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν, οἵτινες ἐκάλεσαν θεοὺς ἔργα χειρῶν ἀνθρώπων, χρυσὸν καὶ ἄρ-
γυρον τέχνης ἐμμελέτημα, καὶ ἀπεικάσματα ζώων, ἢ λίθον ἄχρηστον χειρὸς ἔργον ἀρχαίας. Εἰ 11.
δὲ καί τις ὑλοτόμος τέκτων εὐκίνητον φυτὸν ἐκπρίσας, περιέξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐ-
τοῦ, καὶ τεχνησάμενος εὐπρεπῶς κατεσκεύασε χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς, Τὰ δὲ ἀπο- 12.
βλήματα τῆς ἐργασίας εἰς ἑτοιμασίαν τροφῆς ἀναλώσας ἐνεπλήσθη, Τὸ δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς 13.
οὐθὲν εὔχρηστον, ξύλον σκολιὸν, καὶ ὄζοις συμπεφυκὸς, λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ ἀργίας αὐτοῦ,
καὶ ἐμπειρίᾳ συνέσεως ἐτύπωσεν αὐτὸ, ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου, Ἢ ζώῳ τινὶ εὐτελεῖ 14.
ὡμοίωσεν αὐτὸ, καταχρίσας μίλτῳ, καὶ φύκει ἐρυθήνας χρόαν αὐτοῦ, καὶ πᾶσαν κηλίδα τὴν ἐν
αὐτῷ καταχρίσας, Καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα, ἐν τοίχῳ ἔθηκεν αὐτὸ ἀσφαλισάμενος 15.
σιδήρῳ· Ἵνα μὲν οὖν μὴ καταπέσῃ, προενόησεν αὐτοῦ, εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι, καὶ 16.
γάρ ἐστιν εἰκὼν, καὶ χρείαν ἔχει βοηθείας. Περὶ δὲ κτημάτων καὶ γάμων αὐτοῦ καὶ τέκνων προσ- 17.
ευχόμενος, οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν. Καὶ περὶ μὲν ὑγιείας τὸ ἀσθενὲς ἐπικαλεῖ- 18.
ται, περὶ δὲ ζωῆς τὸν νεκρὸν ἀξιοῖ, περὶ δὲ ἐπικουρίας τὸν ἀπειρότατον ἱκετεύει, περὶ δὲ ὁδοιπο-

XXVII. οὓς ἐδόκουν—κολαζόμενοι] οἷς εδοκουν θεοις κολαζομενοι εν αυτοις 106. οὓς ἐδόκουν θεοὺς] οἷς εδοκουν θεους 248. οἷς εδοκουν θεοις 261. κολαζόμενοι] εβασανιζοντο 157. εἰδέναι] ∧ 157. ἐπῆλθε] ηλθεν 23. (253. ut videtur.)

I. καὶ ἐκ τῶν ὁρωμ.] και εκ τωνδε ορωμ. 23. και ενεκα των ορωμ. 106. οὔτε τοῖς] οτε τοις 23. ουδε τοις 253. προσχόντες] προσεχοντες 23, 106, 157, 248, 254, 261, 296. Compl. Alex.

II. ἢ πνεῦμα] ἢ και πνευμα 248. πρυτάνεις] πρυτανις 106, 261.

III. τερπόμενοι] + ταυτα 23, 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. θεοὺς ὑπελάμβανον] υπελαμβανον θεους ειναι 23. tr. 157. + ειναι 253. γνώτωσαν] γνωτωσαν αν 106.

IV. δύναμιν καὶ ἐνέργειαν] δυναμει και ενεργεια 68. Compl. Ald. præmitt. την 106. πόσῳ ὁ κατασκ.] ποσω μαλλον ὁ κατασκ. 55, 254.

V. Ἐκ γὰρ μεγέθους] ἀπὸ γὰρ μεγέθους Cyrill. Alex. v. 538. et al. καλλονῆς] præmitt. και 55, 248, 253, 254, 296. Compl. (Alex. in char. min.) Euſeb. Præp. Evang. p. 636. Athan. i. 35. Chryſoſt. ii. 99. Cyrill. Alex. l. cit. Theodoret. i. 163. et al. + αυτων 106, 261. κτισμάτων] præmitt. και 23, 106, 261. Compl. Ald. ὁ γενεσ. αὐτῶν θεωρ.] τὸν πάντων γενεσιουργὸν καθορᾶσθαι Greg. Nyſſ. i. 378. θεωρεῖται] καθορᾶται Chryſoſt. l. cit.

VI. ἐπὶ τούτοις] ετι τουτοις III. ἐστὶ μέμψις] tr. 157, 248, 254, 296. Compl. Alex.

VIII. Πάλιν δὲ] ∧ δε 106, 261.

IX. ἵνα δύνωνται] ινα δυνανται 157. τὸν τούτων δεσπότην] τουτου τον δεσποτην 106. του τουτου δεσποτην 261.

X. οἵτινες ἐκάλεσαν] οἵ τινας ἐκάλεσαν Ald. τέχνης] præmitt. και 296. ἐμμελέτημα] εμμελετηματα (23. ſcr. ενμελετηματα) 106, 253. ἢ λίθον] ∧ ἢ 157.

XI. εὐκίνητον] ευκτινον 23. ευτηκτον 248. (f. ευτυκτον) Compl. ἐκκίνητον Ald. περιέξυσεν] περιεξεσεν 23, 248. Compl. εὐμαθῶς] ευφυως (marg. ab ead. m. ευμαθως) 296.

XII. Τὰ δὲ ἀποβλήματα] το δε αποβλητον 23. τα δε υπολειμματα 55, 296. Alex. τα δε αποβλητα 106, 261. τα δε υποληммата 157. τα δε προβληματα 254. εἰς ἑτοιμασίαν] εις υπηρεσιαν III. ἑτοιμασίαν τροφῆς] tr. 55. ∧ τροφης 254. ἐνεπλήσθη] ενεπλησεν 23.

XIII. συμπεφυκὸς] εμπεφυκος 157. ἐν ἐπιμελείᾳ] habet ἐν in charact. minore Alex. ἀργίας] ἐργασίας Alex. καὶ ἐμπειρίᾳ] και εν εμπειρια 23. και εν ημερᾳ εμπειριᾳ 253. συνέσεως] ανεσεως III, 23, 68, 106, 253, 296. Ald. ανεσεως αυτου 157. ἀπείκασεν] απεικασεν τε 254, 296. Alex.

XIV. ὡμοίωσεν] αφωμοιωσεν 296. καταχρίσας] καταχρησας γη 23. + γη 253. ἐρυθήνας] ερυθηνος III. ερυθρηνας 248. Compl. ερυθοινας 261. χρόαν] χροιαν 106, 261. χρόα Ald. αὐτοῦ] αυτω 261.

XV. αὐτῷ] αυτο 106. αὐτοῦ ἄξιον] ∧ αυτου 23, 261.

XVI. ἑαυτῷ] αυτω 106.

XVII. γάμων—προσευχόμενος] γαμου και τεκνων αυτου ευχομενος 23. γάμων αὐτοῦ] ∧ αυτου 106, 261. αὐτοῦ καὶ τέκνων] και τεκνων αυτου 253. προσλαλῶν] λαλων 23.

XVIII. ὑγιείας] υγειας 106, 261. τὸν νεκρὸν] το νεκρον 157, 248. Compl. Alex. τὸν ἀπειρότατον] το απειροτατον 157, 248. Compl. Alex. το ακειροτατον 261. χρῆσθαι] χρησασθαι 55, 253, 254, 296.

ΣΟΦΙΑ ΣΑΛΩΜΩΝ.

ΚΕΦ. XIII.

19. ῥίας τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον, Περὶ δὲ πορισμȣ̃ καὶ ἐργασίας καὶ χειρῶν ἐπιτυχίας τὸ
ἀδρανέςατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.

ΚΕΦ. XIV.

1. ΠΛΟΥΝ τις πάλιν ςελλόμενος, καὶ ἄγρια μέλλων διοδεύειν κύματα, τȣ̃ φέροντος αὐτὸν πλοίȣ
2. σαθρότερον ξύλον ἐπιβοᾶται. Ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησε, τεχνίτης δὲ σοφία
3. κατεσκεύασεν, Ἡ δὲ σὴ, Πάτερ, διακυβερνᾷ πρόνοια, ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν
4. κύμασι τρίβον ἀσφαλῆ, Δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σώζειν, ἵνα κἂν ἄνευ τέχνης τις ἐπιβῇ.
5. Θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα, διὰ τοῦτο καὶ ἐλαχίςῳ ξύλῳ πιςεύȣσιν ἄν-
6. θρωποι ψυχὰς, καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν. Καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπε-
ρηφάνων γιγάντων, ἡ ἐλπὶς τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγȣ̃σα, ἀπέλιπεν αἰῶνι σπέρμα γενέ-
7. 8. σεως τῇ σῇ κυβερνηθεῖσα χειρί. Εὐλόγηται γὰρ ξύλον δι' ȣ̃ γίνεται δικαιοσύνη. Τὸ χειροποί-
ητον δὲ ἐπικατάρατον αὐτὸ, καὶ ὁ ποιήσας αὐτὸ, ὅτι ὁ μὲν εἰργάζετο, τὸ δὲ φθαρτὸν θεὸς ὠνο-
9. 10. μάσθη. Ἐν ἴσῳ γὰρ μισητὰ Θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτȣ̃. Καὶ γὰρ τὸ πραχθὲν
11. σὺν τῷ δράσαντι κολασθήσεται. Διὰ τȣ̃το καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔςαι, ὅτι ἐν κτί-
σματι Θεȣ̃ εἰς βδέλυγμα ἐγενήθησαν, καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων, καὶ εἰς παγίδα πο-
12. 13. σὶν ἀφρόνων. Ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς. Οὔτε γὰρ ἦν
14. ἀπ' ἀρχῆς, ȣ̓́τε εἰς τὸν αἰῶνα ἔςαι. Κενοδοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς κόσμον, καὶ διὰ τȣ̃το
15. σύντομον αὐτῶν τέλος ἐπενοήθη. Ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ, τȣ̃ ταχέως ἀφαιρεθέντος
τέκνου εἰκόνα ποιήσας, τὸν τότε νεκρὸν ἄνθρωπον, νῦν ὡς θεὸν ἐτίμησε, καὶ παρέδωκε τοῖς ὑπο-
16. χειρίοις μυςήρια, καὶ τελετάς. Εἶτα ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη,
17. καὶ τυράννων ἐπιταγαῖς ἐθρησκεύετο τὰ γλυπτά. Οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾷν ἄνθρωποι διὰ
τὸ μακρὰν οἰκεῖν, τὴν πόῤῥωθεν ὄψιν ἀνατυπωσάμενοι, ἐμφανῆ εἰκόνα τȣ̃ τιμωμένου βασιλέως
18. ἐποίησαν, ἵνα τὸν ἀπόντα ὡς παρόντα κολακεύωσι διὰ τῆς σπȣδῆς. Εἰς ἐπίτασιν δὲ θρησκείας
19. καὶ τȣ̀ς ἀγνοȣ̃ντας ἡ τȣ̃ τεχνίτȣ προετρέψατο φιλοτιμία. Ὁ μὲν γὰρ τάχα τῷ κρατȣ̃ντι βου-
20. λόμενος ἀρέσαι, ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον. Τὸ δὲ πλῆθος ἐφελκόμε-
νον διὰ τὸ εὔχαρι τῆς ἐργασίας, τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον, νῦν σέβασμα ἐλογίσαντο.
21. Καὶ τȣ̃το ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον, ὅτι ἢ συμφορᾷ ἢ τυραννίδι δȣλεύσαντες ἄνθρωποι, τὸ ἀκοι-
22. νώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθεσαν. Εἶτ' οὐκ ἤρκεσε τὸ πλανᾶσθαι περὶ τὴν τȣ̃ Θεȣ̃

XIX. Περὶ δὲ πορισμȣ̃] περι δε πορισμων 157. καὶ χειρῶν] ∧ και 157. τὸ ἀδρανέςατον] τὸν ἀδρανέςατον Compl. Ald. εὐδράνειαν] εὐδράνειον Compl.

I. τις πάλιν] tr. Ald. μέλλων διοδεύειν] tr. 23. τȣ̃ φέροντος &c. ad fin. com.] τȣ φεροντος αυτȣ πλοιȣ, σαθροτερον ξυλȣ επιβοαται 248. πλοίου] ξυλου 157. Alex. ἐπιβοᾶται] επιβοα 23, 253.

II. ὄρεξις] ορεξεις 157. πορισμῶν] πορισμω 106. ἐπενόησε] επενθησεν 23. τεχνίτης] τεχνιτις 68, 157. Compl. Alex. Clem. Alex. p. 786.

III. διακυβερνᾷ] διακυβερναται 106, 261.

IV. ἐκ παντὸς] ἐκ πάντων Alex. ἵνα κἂν] ∧ ινα 23, 253. ινα και 55, 106, 248, 261, 296. ἵνα καὶ ἂν (cum ἂν in char. min.) Alex.

V. τῆς σοφίας σου] ∧ σου 23. της σης σοφιας 253. καὶ ἐλαχίςῳ] και εν ελαχιςω 23, 106, 157. κλύδωνα] κλυδωνας 23, 55, 254.

VI. Καὶ ἀρχῆς] ∧ και 23, 106, 261. ἀπέλιπεν] κατελιπεν 106, 261. κατελειπεν 296.

VII. Εὐλόγηται] ευλογημενον 106, 261. ευλογειται 248, 296.

VIII. Τὸ χειροπ. δὲ] ∧ δε 23. το δε χειροποιητον 157, 248. Compl. το χειροπ. γαρ 253. ἐπικατ. αὐτὸ] ∧ αυτο 261. ὅτι ὁ μὲν εἰργάζ. τὸ δὲ] ∧ 261. εἰργάζετο] ειργασατο 55, 254. ηργαζετο 253. φθαρτὸν] + ὂν in char. min. Alex.

IX. Ἐν ἴσῳ γὰρ] ∧ γὰρ Compl.

XI. καὶ ἐν εἰδώλοις] ∧ εν 106, 261, 296. ὅτι ἐν κτίσματι] οτι εν κτισμασιν 23. καὶ εἰς σκάνδαλα] και εις σκανδαλον 261. ψυχαῖς ἀνθρώπων] ψυχης ανθρωπων 296. ἀφρόνων] præmitt. ανθρωπων 106, 261.

XII. Ἀρχὴ γὰρ] ∧ γαρ 261. Compl. Athan. i. 8. Ἀρχὴ γὰρ πορνείας] πρώτη πορνεία Didym. de Trin. p. 370. εὕρεσις] εὑρέσεις Ald. δὲ αὐτῶν] δι' αὐτῶν Ald.

XIII. ἔςαι] μενει 157.

XIV. Κενοδοξίᾳ γὰρ] κενοδοξια δε 23. εἰσῆλθεν] præmitt. θάνατος inter uncos Alex. εἰς κόσμον] εις τον κοσμον 23, 55, 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. Euſeb. Præp. Evang. p. 30. αὐτῶν τέλος] αυτων το τελος 55, 157, 248, 254, 261. Compl. Alex. το τελος αυτων 106, 296. tr. 253.

XV. τὸν τότε] τον ποτε III, 296. ὡς θεὸν] ὡς ζῶντα Euſeb. l. cit. ἐτίμησε] ετιμασεν 23. ἐτίμησαν Ald.

XVI. Εἶτα ἐν χρόνῳ] εἴ τ' εν χρονω 248. ἐν χρόνῳ] ∧ εν 23. κρατυνθὲν] κρατηθεν 106. Compl. Ald. ἐφυλάχθη] ωνομασθη 106, 261. ἐθρησκεύετο] εθρησκευοντο 106, 261.

XVII. Οὓς] ὃς (ſic) 106. ἀνατυπωσάμενοι] præmitt. τυπω 23, 253. τυπωσαμενοι 254. τȣ̃ τιμωμένου] τȣ τετιμημενου 157. Euſeb. l. cit. τὸν ἀπόντα ὡς παρόντα] ως παροντα τον απυντα 23, 106, 157, 253. κολακεύωσι] κολακευσωσι 55, 106, 157, 248, 254, 261. Alex. διὰ τῆς σπȣδῆς] ∧ της 55, 106, 157, 254, 261. Alex.

XVIII. καὶ τȣ̀ς ἀγνοȣ̃ντας] + μετα τȣτο 253. προετρέψατο] προεγραψατο 106. προετρεπετο 157.

XIX. τάχα] ἴσως Euſeb. l. cit. τῷ κρατȣ̃ντι] ∧ τω 253, 254, 261. Ald. Alex. τῇ τέχνῃ] ∧ τη 253.

XX. ἐφελκόμενον] εξερχομενον 106, 261. διὰ τὸ εὔχαρι] δια το ευχαρες III. νῦν σέβασμα] νυν εις σεβασμα 55, 254. νυν σεβασμιον 261. σέβασμα ἐλογίσαντο] ως θεον ενομησαν 157.

XXI. Καὶ τȣ̃το ἐγένετο] καὶ τȣ̃το ἐγεγόνει Euſeb. l. cit. ὅτι ἢ συμφορᾷ] ∧ ἢ Ald. περιέθεσαν] περιεθηκαν 106, 157, 248. Compl. Euſeb. l. cit.

XXII. Εἶτ' οὐκ ἤρκεσε] ειτ' ουκ ηρκεσθησαν 23. ειτα ουκ ηρκεσεν αυτοις 106, 261. Alex. Εἶτ' οὐκ ἤρκεσε τὸ πλανᾶσθαι] εἴ τ' οὐ

γνῶσιν, ἀλλὰ καὶ μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ, τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύουσιν.
Ἢ γὰρ τεκνοφόνους τελετὰς, ἢ κρύφια μυστήρια, ἢ ἐμμανεῖς ἐξ ἄλλων θεσμῶν κώμους ἄγοντες, 23.
Οὔτε βίους οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν, ἕτερος δ' ἕτερον ἢ λοχῶν ἀναιρεῖ, ἢ νοθεύων 24.
ὀδυνᾷ. Πάντας δ' ἐπιμὶξ ἔχει αἷμα καὶ φόνος, κλοπὴ καὶ δόλος, φθορὰ, ἀπιστία, ταραχὴ, ἐπι- 25.
ορκία, Θόρυβος ἀγαθῶν, χάριτος ἀμνηστία, ψυχῶν μιασμὸς, γενέσεως ἐναλλαγὴ, γάμων ἀταξία, 26.
μοιχεία, καὶ ἀσέλγεια. Ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία παντὸς ἀρχὴ κακοῦ καὶ αἰτία 27.
καὶ πέρας ἐστίν. Ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν, ἢ προφητεύουσι ψευδῆ, ἢ ζῶσιν ἀδίκως, ἢ 28.
ἐπιορκοῦσι ταχέως. Ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις, κακῶς ὀμόσαντες, ἀδικηθῆναι οὐ προσ- 29.
δέχονται. Ἀμφότερα δὲ αὐτοὺς μετελεύσεται τὰ δίκαια, ὅτι κακῶς ἐφρόνησαν περὶ Θεοῦ προσχόν- 30.
τες εἰδώλοις, καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος. Οὐ γὰρ ἡ τῶν ὀμνυομένων 31.
δύναμις, ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

ΚΕΦ. XV.

ΣΥ δὲ ὁ Θεὸς ἡμῶν χρηστὸς καὶ ἀληθὴς, μακρόθυμος καὶ ἐν ἐλέει διοικῶν τὰ πάντα. Καὶ γὰρ 1. 2.
ἐὰν ἁμάρτωμεν, σοί ἐσμεν, εἰδότες σου τὸ κράτος· οὐχ ἁμαρτησόμεθα δὲ, εἰδότες ὅτι σοὶ λελο-
γίσμεθα. Τὸ γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανα- 3.
σίας. Οὔτε γὰρ ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια, οὐδὲ σκιαγράφων πόνος ἄκαρ- 4.
πος, εἶδος σπιλωθὲν χρώμασι διηλλαγμένοις· Ὧν ὄψις ἄφροσιν εἰς ὄνειδος ἔρχεται, ποθεῖ τε 5.
νεκρᾶς εἰκόνος εἶδος ἄπνουν. Κακῶν ἐρασταὶ ἄξιοί τε τοιούτων ἐλπίδων, καὶ οἱ δρῶντες, καὶ οἱ πο- 6.
θοῦντες, καὶ οἱ σεβόμενοι. Καὶ γὰρ κεραμεὺς ἁπαλὴν γῆν θλίβων ἐπίμοχθον πλάσσει πρὸς 7.
ὑπηρεσίαν ἡμῶν ἕκαστον, ἀλλ' ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀνεπλάσατο τά τε τῶν καθαρῶν ἔργων δοῦλα
σκεύη, τά τε ἐναντία, πάνθ' ὁμοίως· τούτων δὲ ἑκατέρου τίς ἑκάστου ἐστὶν ἡ χρῆσις, κριτὴς ὁ πη-
λουργός. Καὶ κακόμοχθος Θεὸν μάταιον ἐκ τοῦ αὐτοῦ πλάσσει πηλοῦ, ὃς πρὸ μικροῦ ἐκ γῆς γεν- 8.
νηθεὶς μετ' ὀλίγον πορεύεται ἐξ ἧς ἐλήφθη, τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος. Ἀλλ' ἔστιν αὐτῷ 9.
φροντὶς οὐχ ὅτι μέλλει κάμνειν, οὐδ' ὅτι βραχυτελῆ βίον ἔχει, ἀλλ' ἀντερείδεται μὲν χρυσουργοῖς
καὶ ἀργυροχόοις, χαλκοπλάστας τε μιμεῖται, καὶ δόξαν ἡγεῖται ὅτι κίβδηλα πλάσσει. Σποδὸς 10.
ἡ καρδία αὐτοῦ, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτοῦ, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτοῦ· Ὅτι ἠγνό- 11.
ησε τὸν πλάσαντα αὐτὸν, καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν, καὶ ἐμφυσήσαντα πνεῦ-
μα ζωτικόν. Ἀλλ' ἐλογίσαντο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν, καὶ τὸν βίον πανηγυρισμὸν ἐπι- 12.

κήρυκες ἐν τῷ πλανᾶσθαι 248. καὶ μεγάλῳ ζῶντες] καὶ μεγαλόζωνες (sic) 106. και εν μεγαλω ζωντες 157, 248, 254, 296. Compl. Alex. τὰ τοσαῦτα] ∧ τα 254.

XXIV. οὔτε γάμους καθαροὺς ἔτι] ουτε γαμους ετι καθαρους 248. Compl. ἕτερος δ' ἕτερον] εταιρος δ' εταιρον 157. ἢ λοχῶν] ἢ ενεδρευων λοχων 253. ἢ λοχευων 296.

XXV. Πάντας] παντα 55, 68, 106, 157, 248, 254, 261, 296. Compl. Alex. ἐπιμὶξ] εμιξ 55, 254. επι μιξιν 296. ἔχει αἷμα] ∧ εχει 248. καὶ φόνος] ∧ και 253. ταραχὴ] ταραχος 55, 68, 106, 157, 248, 253, 261, 296. Compl. Ald. Alex.

XXVI. ἀμνηστία] αμνηστια 23, 55, 106, 157, 248, 254, 296. Compl. Alex. μοιχεία, καὶ ἀσέλγεια] μοιχειαι, και ασελγειαι 296.

XXX. τὰ δίκαια] τὰ ἄδικα Alex. προσχόντες] προσεχοντες 23, 55, 157, 248, 261, 296. Compl. Alex. ἐν δόλῳ] εν ειδωλω 106.

XXXI. τῶν ὀμνυομένων] των ομνυμενων 55, 106, 157, 261. Ald. Alex. ἐπεξέρχεται] εξερχεται 106, 261. ἀεὶ] ∧ 261.

I. καὶ ἀληθὴς] + και επιεικης 253. ἐν ἐλέει] ∧ εν 55, 68, 106, 157, 261. Ald. habet ἐν in charact. minore Alex.

II. ἐὰν ἁμάρτωμεν] εαν αμαρτανωμεν 106, 261. αν αμαρτωμεν 253. σοί ἐσμεν] σου εσμεν 106, 296. ὅτι σοι λελογ.] οτι σου λελογ. 106, 261.

III. ἐπίστασθαί σε] ∧ σε 261. καὶ εἰδέναι] και το ειδεναι 23, 253, 296. τὸ κράτος σου] σου το κρατος 23, 55, 106, 157, 248, 253, 254, 296. Compl. Alex.

IV. Οὔτε γὰρ] ουδε γαρ 106, 261. οὐδὲ σκιαγράφων] ουτε σκιαγραφων 157, 248. ουτε σκιογραφων (253. ex corr.) 296. Ald. εἶδος σπιλωθὲν] ειδος σπινωθεν 23.

V. Ὧν ὄψις] ὧν ἡ οψις 55, 254. Ὧν ὄψις ἄφροσιν] ὧν οτι αφρονι 253. ἄφροσιν] αφρονι 55, 106, 254, 261. Alex. εἰς ὄνειδος] εις ορεξιν 23, 55, 106, 157, 248, 253, 254, (261. ut videtur: scr. ορεσιν) 296. Compl. Alex. ποθεῖ τε] ποθειται 23. ποθηται 248. ποθεῖ τε &c. ad fin. com.] ∧ 106, 261. ἄπνουν] αγνουν III.

VI. καὶ οἱ δρῶντες] και ἱδρωτες 261.

VII. θλίβων] εκθλιβων 157. ἐπίμοχθον] επι μοχθων 106. ἡμῶν ἕκαστον] ημων εκαστος 23. ημων ἓν εκαστον 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. ἐκ τοῦ αὐτοῦ πηλοῦ] ∧ πηλου 261. τῶν καθαρῶν ἔργων] ∧ εργων 157. ἑκατέρου] ετερου 23. Ald. εκατερων 253. ἑκατέρου τίς ἑκάστου ἐστὶν] ετερων εκαστου τις εστιν 106. κριτὴς —μάταιον in com. seq.] κριτὴς ὁ πηλουργός ἐστι· καὶ κακόμοχθος εἰς κενὸν 6 Codices Sergii. κριτὴς ὁ πηλουργός εστι καὶ κακόμοχθος· ὅτι εἰς κενὸν 9 Codices Sergii cum Veneta.

VIII. Καὶ κακόμοχθος] και ὁ κακομοχθος 157. ἐκ τοῦ αὐτοῦ πλάσσει] πλάσσει ἐκ τοῦ αὐτοῦ Alex. πορεύεται] πορευσεται 55, 157, 248, 254, 296. Compl.

IX. αὐτῷ φροντὶς] αὐτῶν φροντὶς Ald. οὐδ' ὅτι βραχυτελῆ] αλλ' οτι βραχυτελη 253. ἀλλ' ἀντερείδεται] ἀλλ' ἀντερίζεται Alex. ἀντερ. μὲν] αντερ. νυν 253. ἀργυροχόοις] αργυρουργοις 23. πλάσσει] πρασσει 157.

X. ἡ καρδία αὐτοῦ] ἡ καρδια αυτων 157, 248. ἡ ἐλπὶς αὐτοῦ] ἡ ελπις αυτων 157, 248. Compl. πηλοῦ τε] πολοῦ τε (sic) 261.

XI. Ὅτι ἠγνόησε] οτι ηγνοει 261. τὸν πλάσαντα] τον ποιησαντα 55, 157, 254. Alex. ψυχὴν ἐνεργοῦσαν] præmitt. εις 55, 254, 296. καὶ ἐμφυσήσαντα] + αυτω 23, 106, 261. και τον εμφυσησαντα 253.

XII. Ἀλλ' ἐλογίσαντο] αλλ' ελογισατο 106, 157, 248, 261. τὴν ζωὴν ἡμῶν] την ψυχην ημων 253. δεῖν γάρ] δεινον γαρ 261. φησιν] φασιν 157, 248, 296. Compl. Alex. ὅθεν δὴ] οθεν ηδη 261. κἂν ἐκ κακοῦ] και εκ κακου 55, 254. Compl. Alex. καν εκ κακων 106, 261. και εκ κακων 248.

ΚΕΦ. XV.

13. κερδῆ· δεῖν γάρ φησιν ὅθεν δὴ κἂν ἐκ κακοῦ πορίζειν. Οὗτος γὰρ παρὰ πάντας οἶδεν ὅτι ἁμαρ-
14. τάνει, ὕλης γεώδους εὔθραυστα σκεύη καὶ γλυπτὰ δημιουργῶν. Πάντες δ' ἀφρονέστατοι καὶ τάλα-
15. νες ὑπὲρ ψυχὴν νηπίου, οἱ ἐχθροὶ τοῦ λαοῦ σου καταδυναστεύσαντες αὐτόν. Ὅτι καὶ πάντα εἴδωλα
τῶν ἐθνῶν ἐλογίσαντο θεούς, οἷς οὔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν, οὔτε ῥῖνες εἰς συνολκὴν ἀέρος,
οὔτε ὦτα ἀκούειν, οὔτε δάκτυλοι χειρῶν εἰς ψηλάφησιν, καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν.
16. Ἄνθρωπος γὰρ ἐποίησεν αὐτούς, καὶ τὸ πνεῦμα δεδανεισμένος ἔπλασεν αὐτούς· οὐδεὶς γὰρ αὐτῷ
17. ὅμοιον ἄνθρωπος ἰσχύει πλάσαι θεόν· Θνητὸς δὲ ὢν νεκρὸν ἐργάζεται χερσὶν ἀνόμοις· κρείττων
18. γάρ ἐστι τῶν σεβασμάτων αὐτοῦ, ὧν αὐτὸς μὲν ἔζησεν, ἐκεῖνα δὲ οὐδέποτε. Καὶ τὰ ζῶα δὲ τὰ ἔχ-
19. θιστα σέβονται, ἄνοια γὰρ συγκρινόμενα τῶν ἄλλων ἐστὶ χείρονα. Οὐδ' ὅσον ἐπιποθῆσαι ὡς ἐν
ζώων ὄψει καλὰ τυγχάνει, ἐκπέφευγε δὲ καὶ τὸν τοῦ Θεοῦ ἔπαινον καὶ τὴν εὐλογίαν αὐτοῦ.

ΚΕΦ. XVI.

1. 2. ΔΙΑ τοῦτο δι' ὁμοίων ἐκολάσθησαν ἀξίως, καὶ διὰ πλήθους κνωδάλων ἐβασανίσθησαν. Ἀνθ' ἧς
κολάσεως εὐεργετήσας τὸν λαόν σου, εἰς ἐπιθυμίαν ὀρέξεως ξένην γεῦσιν, τροφὴν ἡτοίμασας ὀρ-
3. τυγομήτραν, Ἵνα ἐκεῖνοι μὲν ἐπιθυμοῦντες τροφήν, διὰ τὴν εἰδέχθειαν τῶν ἐπαπεσταλμένων καὶ
τὴν ἀναγκαίαν ὄρεξιν ἀποστρέφωνται, αὐτοὶ δὲ ἐπ' ὀλίγον ἐνδεεῖς γενόμενοι καὶ ξένης μετάσχωσι
4. γεύσεως. Ἔδει γὰρ ἐκείνοις μὲν ἀπαραίτητον ἔνδειαν ἐπελθεῖν τυραννοῦσι, τούτοις δὲ μόνον δει-
5. χθῆναι πῶς οἱ ἐχθροὶ αὐτῶν ἐβασανίζοντο. Καὶ γὰρ ὅτε αὐτοῖς δεινὸς ἐπῆλθε θηρίων θυμός,
6. δήγμασί τε σκολιῶν διεφθείροντο ὄφεων, οὐ μέχρι τέλους ἔμεινεν ἡ ὀργή σου. Εἰς νουθεσίαν δὲ
7. πρὸς ὀλίγον ἐταράχθησαν, σύμβολον ἔχοντες σωτηρίας εἰς ἀνάμνησιν ἐντολῆς νόμου σου. Ὁ γὰρ
8. ἐπιστραφεὶς οὐ διὰ τὸ θεωρούμενον ἐσώζετο, ἀλλὰ διὰ σὲ τὸν πάντων σωτῆρα. Καὶ ἐν τούτῳ δὲ
9. ἔπεισας τοὺς ἐχθροὺς ἡμῶν, ὅτι σὺ εἶ ὁ ῥυόμενος ἐκ παντὸς κακοῦ. Οὓς μὲν γὰρ ἀκρίδων καὶ μυιῶν
ἀπέκτεινε δήγματα, καὶ οὐχ εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν, ὅτι ἄξιοι ἦσαν ὑπὸ τοιούτων κολασθῆ-
10. ναι. Τοὺς δὲ υἱούς σου οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες, τὸ ἔλεος γάρ σου ἀντιπαρῆλθε καὶ
11. ἰάσατο αὐτούς. Εἰς γὰρ ὑπόμνησιν τῶν λογίων σου ἐνεκεντρίζοντο, καὶ ὀξέως διεσώζοντο, ἵνα μὴ
12. εἰς βαθεῖαν ἐμπεσόντες λήθην, ἀπερίσπαστοι γένωνται τῆς σῆς εὐεργεσίας. Καὶ γὰρ οὔτε βοτάνη
13. οὔτε μάλαγμα ἐθεράπευσεν αὐτούς, ἀλλὰ ὁ σὸς Κύριε λόγος ὁ πάντα ἰώμενος. Σὺ γὰρ ζωῆς καὶ
14. θανάτου ἐξουσίαν ἔχεις, καὶ κατάγεις εἰς πύλας ᾅδου καὶ ἀνάγεις. Ἄνθρωπος δὲ ἀποκτέννει

XIII. Οὗτος γὰρ] ∧ γαρ 23. αυτος γαρ 261, 296. εὔθραυστα] ευθραστα III, 23, 157.

XIV. Πάντες δ' ἀφρ.] παντως δ' αφρ. 253. παντων δ' αφρ. 254. Alex. παντων τε αφρ. 296. ἀφρονέστατοι] αφρονεστεροι 106, 253, 261. ὑπὲρ ψυχὴν] υπερ ψυχας 248, 296. Compl. Alex. νηπίου] νηπίων 55, 248, 254, 296. Compl. Alex. καταδυναστεύσαντες] præmitt. οἱ 23, 106, 296. οἱ καταδυναστευοντες 261. καταδυν. αὐτόν] οἱ καταδυναστευσαντες αυτων 253. καταδυναστεύοντες αὐτήν Compl.

XV. καὶ πάντα εἴδωλα] και παντα τα ειδωλα 23, 106, 254, 296. παντα τα ειδωλα 55, 157, 248. Compl. Alex. ἐλογίσαντο] ελογισατο 106. οἷς οὔτε] οἷς ουδε 55, 157, 254. ὀμμάτων χρῆσις] ομματων χρησεις 261.

XVI. οὐδεὶς—ἄνθρωπος 2°] ουδεις γαρ ομοιον εαυτω 23. ουδεις γαρ αυτων ομοιον ανθρωπω 55, 254. ουδεις γαρ ανθρωποις ομοιον ανθρωπον 106, 261. ουδεις γαρ αυτων ομοιον ανθρωπος 248. Compl. ουδεις γαρ αυτων ομοιον ανθρωποις 253. ουδεις γαρ αυτων ομοιον ανθρωπων 296. οὐδεὶς γὰρ ἀνθρώπων ὅμοιον Alex. ἰσχύει] ἰσχύσει Compl. ἰσχ. πλάσαι] ισχυι πλασας 261. θεόν—νεκρὸν in com. seq.] θεον θνητος ὢν· νεκρον 106.

XVII. Θνητὸς δὲ] ∧ δε 261. κρείττων γάρ] κρεισσον γαρ 261. τῶν σεβασμάτων] των σεβηματων III. ὧν αὐτὸς μὲν] αυτος μεν γαρ 157. ∧ ὧν 253.

XVIII. τὰ ἔχθιστα] τα ελαχιστα 248. ἄνοια γὰρ] αγνοια γαρ 55. ἔνια γὰρ Alex.

XIX. ἐπιποθῆσαι ὡς] επιποθησεως 106, 261. + ανθρωπων 296. ὡς ἐν—τυγχάνει] ὡς καλὰ ἐν μορφαῖς τῶν ζώων τυγχάνωσι 11 Codices Sergii. καλὰ τυγχάνει] κατατυγχανει 254. ἐκπέφευγε δὲ] εκπεφευγε γαρ 106, 261.

I. δι' ὁμοίων] δ' ὁμοίως Ald. διὰ πλήθους κνωδάλων] δια πληθος 106.

II. εὐεργετήσας] ευηργετησας 253. εἰς ἐπιθυμίαν] præmitt. οἷς 55, 248. Compl. (Alex. inter uncos.) εις γαρ επιθυμιαν 253. ξένην γεῦσιν, τροφὴν] ξενην γευσιν τροφης 106. Ald. ἡτοίμασας] ητοιμασαν 106.

III. ἐπιθυμ. τροφὴν] επιθυμ. τροφης 23, 106, 248, 261, 296. διὰ τὴν εἰδέχθειαν] δια την δειχθεισαν III, (23. scr. διχθησαν) 68, 106, 253. Compl. Ald. δια την διαχθεισαν 261. τῶν ἐπαπεσταλμένων] των επεσταλμενων 55. των απεσταλμενων 157. αὐτοὶ δὲ] ουτοι δε 55, 157, 248, 254, 296. Compl. Alex. ἐπ' ὀλίγον] μετ' ολιγον 106. επ' ολιγω 248. Compl. γενόμενοι] γινομενοι 106, 261. καὶ ξένης] και ξενοι 68.

IV. Ἔδει γὰρ ἐκείνοις μὲν] εδει μεν γαρ εκεινοις 296. τούτοις δὲ] τουτους δε 248.

V. Καὶ γὰρ ὅτε αὐτοῖς] ∧ οτε 261. καὶ γὰρ τοῖς Ald. δεινὸς ἐπῆλθε] tr. 106. δήγμασί τε] δηγμασι δε 296.

VI. σύμβολον] συμβουλον III, 23. Ed. Rom. et Ald. νόμου σου] νομον σου III, 248, 296. νομους σου 55. ∧ σου 106. Ald.

VIII. ὅτι σὺ εἶ] ∧ σὺ Ald.

IX. καὶ μυιῶν] και μυων 106, 157. Ald. ἀπέκτεινε] απεκτειναν 157. δήγματα] δηγματι 261. Ald.

X. Τοὺς δὲ υἱούς σου] τους δε δουλους σου 23. ∧ δὲ Ald. ἰοβόλ. δρακ.] tr. 23. τὸ ἔλεος γάρ σου] το ελεος σου γαρ Κυριε 106, 261. ἀντιπαρῆλθεν] αντιπαρηγεν 23, 253. καὶ ἰάσατο] και ιατο 23, 253.

XI. τῶν λογίων σου] των λογων 106, 261. ἐνεκεντρίζοντο] ενκεντριζοντο III. καὶ ὀξέως] και ευθεως 23. καὶ ὀξέως διεσώζοντο] ∧ 296. ἐμπεσόντες] εκπεσοντες 296. ἀπερίσπαστοι] απεριστατοι 23, 253.

XII. πάντα] παντας III, 55, 106, 157, 248, 254, 261, 296.

XIII. ζωῆς] και ζωης 106, 261. ἐξουσίαν ἔχεις] + Κυριε 106, 261. ἐξουσίαν ἂν ἔχεις Ald. εἰς πύλας ᾅδου] εις αδου πυλας 23. ∧ πυλας 106, 261.

XIV. Ἄνθρωπος δὲ ἀποκτέννει μὲν] ανθρωπος μεν γαρ αποκτενει 106, 261. ἀποκτέννει] αποκτενη 23. αποκτενει 296. Ald. ἀπο-

μὲν τῇ κακίᾳ αὐτȣ̃, ἐξελθὸν δὲ ϖνεῦμα οὐκ ἀναςρέφει, ȣ̓δὲ ἀναλύει ψυχὴν ϖαραληφθεῖσαν.
Τὴν δὲ σὴν χεῖρα φυγεῖν ἀδύνατόν ἐςιν. Ἀρνȣ́μενοι γάρ σε εἰδέναι ἀσεβεῖς, ἐν ἰσχύϊ βραχίονός 15. 16.
σȣ ἐμαςιγώθησαν, ξένοις ὑετοῖς καὶ χαλάζαις καὶ ὄμβροις διωκόμενοι ἀπαραιτήτοις, καὶ ϖυρὶ
καταναλισκόμενοι. Τὸ γὰρ ϖαραδοξότατον, ἐν τῷ ϖάντα σβεννῦντι ὕδατι ϖλεῖον ἐνήργει τὸ ϖῦρ· 17.
ὑπέρμαχος γὰρ ὁ κόσμος ἐςὶ δικαίων. Ποτὲ μὲν γὰρ ἡμερȣ̃το φλὸξ, ἵνα μὴ καταφλέξῃ τὰ ἐπ᾽ 18.
ἀσεβεῖς ἀπεςαλμένα ζῶα· ἀλλ᾽ αὐτοὶ βλέποντες ἴδωσιν, ὅτι Θεȣ̃ κρίσει ἐλαύνονται. Ποτὲ δὲ 19.
καὶ μεταξὺ ὕδατος ὑπὲρ τὴν ϖυρὸς δύναμιν φλέγει, ἵνα ἀδίκȣ γῆς γεννήματα διαφθείρῃ. Ἀνθ᾽ 20.
ὧν ἀγγέλων τροφὴν ἐψώμισας τὸν λαόν σου, καὶ ἕτοιμον ἄρτον αὐτοῖς ἀπ᾽ ȣ̓ρανȣ̃ ἔπεμψας ἀκο-
ϖιάτως, ϖᾶσαν ἡδονὴν ἰσχύοντα καὶ ϖρὸς ϖᾶσαν ἁρμόνιον γεῦσιν. Ἡ μὲν γὰρ ὑπόςασίς σου 21.
τὴν σὴν γλυκύτητα ϖρὸς τέκνα ἐνεφάνισε, τῇ δὲ τȣ̃ ϖροσφερομένου ἐπιθυμίᾳ ὑπηρετῶν, ϖρὸς ὅ
τις ἐβȣ́λετο μετεκιρνᾶτο. Χιὼν δὲ καὶ κρύςαλλος ὑπέμεινε ϖῦρ, καὶ ȣ̓κ ἐτήκετο, ἵνα γνῶσιν ὅτι 22.
τȣ̀ς τῶν ἐχθρῶν καρπȣ̀ς κατέφθειρε ϖῦρ φλεγόμενον, ἐν τῇ χαλάζῃ καὶ ἐν τοῖς ὑετοῖς διαςράπτον.
Τȣ̃το ϖάλιν δ᾽ ἵνα τραφῶσι δίκαιοι, καὶ τῆς ἰδίας ἐπιλελῆσθαι δυνάμεως. Ἡ γὰρ κτίσις σοι 23. 24.
τῷ ϖοιήσαντι ὑπηρετȣ̃σα, ἐπιτείνεται εἰς κόλασιν κατὰ τῶν ἀδίκων, καὶ ἀνίεται εἰς εὐεργεσίαν
ὑπὲρ τῶν εἰς σὲ ϖεποιθότων. Διὰ τȣ̃το καὶ τότε εἰς ϖάντα μεταλλευομένη, τῇ ϖαντοτρόφῳ σȣ 25.
δωρεᾷ ὑπηρετεῖ, ϖρὸς τὴν τῶν δεομένων θέλησιν· Ἵνα μάθωσιν οἱ υἱοί σȣ, ȣ̀ς ἠγάπησας, Κύριε, 26.
ὅτι ȣ̓χ αἱ γενέσεις τῶν καρπῶν τρέφȣσιν ἄνθρωπον, ἀλλὰ τὸ ῥῆμά σου τȣ̀ς σοὶ ϖιςεύοντας δια-
τηρεῖ. Τὸ γὰρ ὑπὸ ϖυρὸς μὴ φθειρόμενον ἁπλῶς ὑπὸ βραχείας ἀκτῖνος ἡλίου θερμαινόμενον 27.
ἐτήκετο. Ὅπως γνωςὸν ᾖ, ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ᾽ εὐχαριςίαν σȣ, καὶ ϖρὸς ἀνατολὴν φω- 28.
τὸς ἐντυγχάνειν σοι. Ἀχαρίςου γὰρ ἐλπὶς ὡς χειμέριος ϖάχνη τακήσεται, καὶ ῥυήσεται ὡς 29.
ὕδωρ ἄχρηςον.

ΚΕΦ. XVII.

ΜΕΓΑΛΑΙ γάρ σου αἱ κρίσεις καὶ δυσδιήγητοι· διὰ τȣ̃το ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν. 1.
Ὑπειληφότες γὰρ καταδυναςεύειν ἔθνος ἅγιον ἄνομοι, δέσμιοι σκότους καὶ μακρᾶς ϖεδῆται νυκ- 2.
τὸς, κατακλεισθέντες ὀρόφοις, φυγάδες τῆς αἰωνίȣ ϖρονοίας ἔκειντο. Λανθάνειν γὰρ νομίζοντες 3.
ἐπὶ κρυφαίοις ἁμαρτήμασιν, ἀφεγγεῖ λήθης ϖαρακαλύμματι ἐσκορπίσθησαν, θαμβȣ́μενοι δεινῶς

κτείνει Compl. τῇ κακίᾳ αὐτȣ̃] τη κακια εαυτȣ 23. ȣ̓κ ἀναςρέφει] ουκ αναςρεψει 248. Compl. ȣ̓δὲ ἀναλύει] ȣδε αναλυσει 23, 106, 253, 261.

XV. φυγεῖν] εκφυγειν 157.

XVI. εἰδέναι] εἶδε 261. καὶ ὄμβροις] ∧ και 106, 261. ἀπαραιτήτοις] απαραιτητως 157, 248. Compl.

XVII. ϖάντα] ϖαντας 261. τα ϖαντα 296. ϖάντι Ald. σβεννῦντι] σβεννυοντι 106, 261. ὁ κόσμος ἐςὶ] ∧ ὁ 23. εςιν ὁ κοσμος 106, 296. δικαίων] δικαιοις III.

XVIII. τὰ ἐπ᾽ ἀσεβεῖς] τα επ᾽ ασεβειας 296. ἀπεςαλμένα] επαπεςαλμενα 23. αποςελλομενα 106. αποςαλεντα 157. βλέποντες] οἱ βλεποντες 23. ἴδωσιν] ειδωσιν 248. ὅτι Θεȣ̃ κρίσει] οτι κρισει Θεȣ 248. Compl. ἐλαύνονται] ελαυνωνται III.

XIX. ὑπὲρ τὴν ϖυρὸς] υπερ την τȣ ϖυρος 106, 261. διαφθείρῃ] καταφθειρη 23, 55, 248, 253, 296. Alex. διαφθαρη (scr. διαφθαρει) 155. καταφθαρη 254.

XX. καὶ ἕτοιμον—ἀκοπιάτως] και ετοιμον αρτον απ᾽ ȣρανȣ ϖαρεσχες αυτοις ακοπιαςως 106, 254. Alex. sic, nisi ακοπιατως 253, 261, 296. ἄρτον αὐτοῖς ἀπ᾽ ȣ̓ρανȣ̃ ἔπεμψας] αρτον εξ ȣρανȣ ϖαρεσχες αυτοις 23, 155. αρτον απ᾽ ȣρανȣ και ϖαρεσχες αυτοις 55. αρτον απ᾽ ȣρανȣ επεμψας αυτοις 248. Compl. ἀκοπιάτως] ακοπιαςως (scr. ακοπιαςος) 155. ἰσχύοντα] ισχυȣσαν 23, 106. ἴσχοντα Alex. ϖᾶσαν ἡδονὴν] præmitt. ϖρος 248. Compl. καὶ ϖρὸς ϖᾶσαν] ∧ ϖρος 106, 261. ∧ και 155.

XXI. ὑπόςασίς σου] ∧ σου 55. υποςασις αυτȣ 248. ἀπόςαξίς σου Alex. τὴν σὴν—ἐνεφάνισε] την σην ϖρος τεκνα ενεφανισεν γλυκυτητα 155. sic, nisi ενεφανιζεν, 157, 248, 261. Compl. Alex. γλυκύτητα ϖρὸς τέκνα ἐνεφ.] ϖρος τεκνα γλυκυτητα ενεφανισεν 23. ϖρος τεκνα γλυκυτητα ενεφανιζε 55, 253, 254, 296. ϖρος μονα γλυκυτητα ενεμφανιζε 106. ἐνεφάνισε] ενεφανιζε 261. ἐπιθυμίᾳ] + επιποθων 155. ὑπηρετῶν] præmitt. και 155. μετεκιρνᾶτο] μετεκρίνετω (sic) 155.

XXII. καὶ κρύςαλλος] ∧ και 254. ὑπέμεινε] ὑπέμενε Alex. καὶ οὐκ ἐτήκετο] και ουκ εκτηκετο 106. τῶν ἐχθρῶν] των εθνων III. κατέφθειρε] καταφθειρει 106. καταφθειρη 261. ϖῦρ φλεγόμενον] ϖυρ φλεγον 23, 155, 157, 296. ἐν τῇ χαλάζῃ] ∧ εν 106. διάςραπτον] καταςραπτον 253.

XXIII. Τȣ̃το—τραφῶσι] τουτο δε ϖαλιν τραφωσι 106. Τοῦτο ϖάλιν δ᾽] τουτο δε ϖαλιν 155, 157, 248, 254, 296. Compl. Alex. τραφῶσι] ςραφωσιν 68. Ald. ἰδίας] ιδιας τε 155. post ιδιας adscript in marg. το ϖυρ ab al. m. 106. ἐπιλελῆσθαι] επιλεληςαι 55, 106, (155. scr. επιλελιςε) 157, 248, 253, 254, 296. Compl. Alex.

XXIV. τῷ ϖοιήσαντι] + τα ϖαντα 248. Compl. ὑπὲρ τῶν] επι των 157. εἰς σὲ] επι σοι 55, 106, 157, 248, 253. Compl. Alex. επι σε 155, 254, 261.

XXV. Διὰ τȣ̃το] δια τȣτο και τȣτο (sic) 261. μεταλλευομένη] + ἡ γη 253. τῇ ϖαντοτρ.] γη τη ϖαντοτρ. 106. τῶν δεομένων] + σου 23, 55.

XXVI. Ἵνα μάθωσιν] μαθέτωσαν γὰρ Clem. Alex. p. 167. οἱ υἱοί σου] ∧ οἱ 155. ȣ̓χ αἱ] ȣχι αἱ 261. τῶν καρπῶν] των ανθρωπων III. τρέφȣσιν] εκτρεφȣσιν 157. ἄνθρωπον] τον ανθρωπον 23, 106, 261. ϖιςεύοντας] ϖιςευσαντας 23, 253.

XXVII. ἁπλῶς] ἀλλ᾽ ὡς 296. θερμαινόμενον] θερμένον (sic) 155.

XXVIII. Ὅπως—εὐχαριςίαν σου] ∧ cum intermed. 23. τὸν ἥλιον] τὸν ὄρθρον Chrysost. v. 260. ἐπ᾽ εὐχαριςίαν σου] επ᾽ ευχαριςια σου 106, 261. ϖρὸς ἀνατολὴν] ϖρὸ ἀνατολῆς Origen. i. 267. Chrysost. v. 32.

XXIX. Ἀχαρίςου] αχαριςων 155. ὡς χειμ.] ωσπερ χειμ. 106, 261. ὡς χειμέριος ϖάχνη] ὡς χειμερινὴ ϖάχνη Alex.

II. Ὑπειληφότες] απειληφοτες (marg. ab al. m. καυχιςοτες) 106. καὶ μακρᾶς ϖεδῆται] και μακροις ϖαρδηται (sic) 155. ϖεδῆται νυκτὸς] δητα νυκτος 106. δειται νυκτος 261. ϖέδηνται νυκτός Ald. κατακλεισθέντες] ἢ κατακλεισθεντας 106. ὀρόφοις] οροφης 248.

III. ἐπὶ κρυφαίοις] επι κρυφιοις 23. ἀφεγγεῖ λήθης] αφεγγει λη-

ΚΕΦ. XVII.

4. καὶ ἰνδάλμασιν ἐκταρασσόμενοι. Οὐδὲ γὰρ ὁ κατέχων αὐτοὺς μυχὸς ἀφόβως διεφύλασσεν, ἦχοι
δὲ καταράσσοντες αὐτοὺς περιεχόμπουν, καὶ φάσματα ἀμειδήτοις κατηφῆ προσώποις ἐνεφανίζετο.
5. Καὶ πυρὸς μὲν οὐδεμία βία κατίσχυε φωτίζειν, οὔτε ἄστρων ἔκλαμπροι φλόγες καταυγάζειν ὑπέ-
6. μενον τὴν στυγνὴν ἐκείνην νύκτα. Διεφαίνετο δ' αὐτοῖς μόνον αὐτομάτη πυρὰ φόβου πλήρης, ἐκ-
7. δειματούμενοι δὲ τῆς μὴ θεωρουμένης ἐκείνης ὄψεως, ἡγοῦντο χείρω τὰ βλεπόμενα. Μαγικῆς δὲ
8. ἐμπαίγματα κατέκειτο τέχνης, καὶ τῆς ἐπὶ φρονήσει ἀλαζονείας ἔλεγχος ἐφύβριστος. Οἱ γὰρ ὑπι-
σχνούμενοι δείματα καὶ ταραχὰς ἀπελαύνειν ψυχῆς νοσούσης, οὗτοι καταγέλαστον εὐλάβειαν ἐνόσουν.
9. Καὶ γὰρ εἰ μηδὲν αὐτοὺς ταραχῶδες ἐφόβει, κνωδάλων παρόδοις καὶ ἑρπετῶν συριγμοῖς ἐκσεσοβη-
10. 11. μένοι Διώλλυντο ἔντρομοι, καὶ τὸν μηδαμόθεν φευκτὸν ἀέρα προσιδεῖν ἀρνούμενοι. Δειλὸν γὰρ
ἰδίως πονηρία μαρτυρεῖ καταδικαζομένη, ἀεὶ δὲ προσείληφε τὰ χαλεπὰ συνεχομένη τῇ συνειδή-
12. 13. σει. Οὐθὲν γάρ ἐστι φόβος, εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων. Ἔνδοθεν δὲ οὖσα
14. ἥττων ἡ προσδοκία, πλείονα λογίζεται τὴν ἄγνοιαν τῆς παρεχούσης τὴν βάσανον αἰτίας. Οἱ δὲ
τὴν ἀδύνατον ὄντως νύκτα καὶ ἐξ ἀδυνάτου ᾅδου μυχῶν ἐπελθοῦσαν, τὸν αὐτὸν ὕπνον κοιμώμενοι,
15. Τὰ μὲν τέρασιν ἠλαύνοντο φαντασμάτων, τὰ δὲ τῆς ψυχῆς παρελύοντο προδοσίᾳ· αἰφνίδιος γὰρ
16. αὐτοῖς καὶ ἀπροσδόκητος φόβος ἐπῆλθεν. Εἶθ' οὕτως, ὃς δήποτ' οὖν ἦν ἐκεῖ καταπίπτων, ἐφρουρεῖτο
17. εἰς τὴν ἀσίδηρον εἱρκτὴν κατακλεισθείς. Εἴτε γὰρ γεωργὸς ἦν τις, ἢ ποιμήν, ἢ τῶν κατ' ἐρη-
μίαν ἐργάτης μόχθων, προληφθεὶς τὴν δυσάλυκτον ἔμενεν ἀνάγκην· μιᾷ γὰρ ἁλύσει σκότους
18. πάντες ἐδέθησαν. Εἴτε πνεῦμα συρίζον, ἢ περὶ ἀμφιλαφεῖς κλάδους ὀρνέων ἦχος εὐμελής, ἢ
19. ῥυθμὸς ὕδατος πορευομένου βίᾳ, Ἢ κτύπος ἀπηνὴς καταῤῥιπτομένων πετρῶν, ἢ σκιρτώντων ζώων
δρόμος ἀθεώρητος, ἢ ὠρυομένων ἀπηνεστάτων θηρίων φωνή, ἢ ἀντανακλωμένη ἐκ κοιλοτάτων ὀρέων
20. ἠχώ, παρέλυσεν αὐτοὺς ἐκφοβοῦντα. Ὅλος γὰρ ὁ κόσμος λαμπρῷ κατελάμπετο φωτί, καὶ ἀνεμ-
21. ποδίστοις συνείχετο ἔργοις. Μόνοις δὲ ἐκείνοις ἐπετέτατο βαρεῖα νύξ, εἰκὼν τοῦ μέλλοντος αὐτοὺς
διαδέχεσθαι σκότους, ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότους.

ΚΕΦ. XVIII.

1. ΤΟΙΣ δὲ ὁσίοις σου μέγιστον ἦν φῶς, ὧν φωνὴν μὲν ἀκούοντες, μορφὴν δὲ οὐχ ὁρῶντες, ὅτι μὲν οὖν

θοις 155. αφεγγεσι ληθης 296. παρακαλύμματι] παρακαλυμμασι 248. ἐσκορπίσθησαν] εσκοτισθησαν 55, 106, 157, 254. Alex. καὶ ἰνδάλμασιν] και εν ινδαλμασιν 106. και εν δαλμασι (sic) 261. ἐκταρασσόμενοι] ταρασσομενοι 106, 261.

IV. μυχὸς] μυθος III. ἀφόβως] αφοβους 23, 55, 106, 155, 157, 248, 253, 254, 261. Compl. Alex. καταράσσοντες] εκταρασσοντες 55, 253, 254. ταρασσοντες 106, 261. καὶ φάσματα—προσώποις] καὶ φάσματα ἀναίσχυντα 13 Codices Sergii. ἀμειδήτοις] ἀμειδῆ τοῖς 296. ἀμειδήτοις κατηφῆ] αμειδη τοις κατηφεσιν 253. Ald. κατηφῆ] κατηφεσι 23, (155. scr. κατοιφεσι) 157. στυγνος marg. ab al. m. 106.

V. οὔτε ἄστρων] ουτε πυρσων 155.

VI. μόνον] μονοις 157. ἐκδειματούμενοι δὲ] εκδειματουμενοι τε 55. 253. Alex. εκφοβουμενοι marg. ab al. m. 106. δὲ τῆς μὴ θεωρ.] τε τις μη θεωρ 23. ∧ μη 106. δε της μη ωρωμενης 155. τε τοις θεωρουμενοις 261. habet μὴ in charact. minore Alex. ἐκείνης] εκεινοις 261. βλεπόμενα] præmitt. μη 106, 261.

VII. Μαγικῆς δὲ] μαγικης τε (155. scr. ται) 296. ἐμπαίγματα κατέκειτο] κατεκειντο εμπαιγματα 248. Compl. κατέκειτο] κατεκειντο 157, 254, 296. Alex.

VIII. Οἱ γὰρ ὑπισχνούμενοι] οἱ γαρ επισχνουμενοι 155. δείματα καὶ] διμα φοβους τα τε και 23. δειγματα τε και 155. ∧ δειματα 254. δειγματα και 261. ψυχῆς νοσούσης] ἀπὸ ψυχῆς τῶν νοσούντων 9 Codices Sergii.

IX. εἰ μηδὲν] εἰ μηθεν 23. ταραχῶδες] τερατωδες 23. κνωδάλων] κνοδαλον (sic) 155. παρόδοις] παροδοι 155. συριγμοῖς] συρισμοῖς Compl. ἐκσεσοβημένοι] εκπεφοβημενοι III, 106. εκσεσοβισμενοι 155. εκπεφοβουμενων 261.

X. καὶ τὸν μηδαμόθεν] και τοῦ μηδαμοθεν 155. φευκτὸν ἀέρα] tr. 23. ∧ αερα 155. ἀφυκτὸν ἀέρα 11 Codices Sergii.

XI. Δειλὸν γὰρ] δινον γαρ 23. δηλον γαρ 106. ἰδίως] ἰδίῳ Compl. Alex. μαρτυρεῖ] μαρτυρι 55, 248, 254, 296. Compl. Alex. ἀεὶ δὲ] ∧ δε 23. προσείληφε] προείληφε Alex.

XII. Οὐθὲν γὰρ] ουδε γαρ 106, 253. ἐστι φόβος] εστην φοβος 155. ἀπὸ λογισμοῦ] ἀπολόγισμα 155.

XIII. Ἔνδοθεν δὲ] ∧ δε 106. οὖσα ἥττων] ουσα ελασσων 261. ἡ προσδοκια] ∧ ἡ 253. λογίζεται] αναλογιζεται 23, 253. τὴν ἄγνοιαν] ∧ την 23, 253. την ανοιαν 106. ∧ 157. τῇ ἀγχινοίᾳ Alex. τὴν βάσανον] τον βασανον 106. την ανοιαν 157. αἰτίας] αναγκης 248.

XIV. ἐξ ἀδυνάτου] εξ αδυτου 157. Alex. ἐξ ἀδυνάτου ᾅδου μυχῶν] εξ αδυνατων μυχων 106, 261.

XV. προδοσίᾳ] πρόσόδια (sic) 155. ἐπῆλθεν] επεχυθη 23, 106, 155, 253. επελυθη 261.

XVI. Εἶθ' οὕτως] ειθ' ουτος 157. ὃς δήποτ' οὖν] ∧ ουν 23. οσος δηποτ' ουν 296.

XVII. Εἴτε γὰρ] ∧ γαρ 254. γεωργὸς ἦν τις] τις γεωργος ἦν 106. γεωργος τις ἦν 157, 296. ἦν τις] αὖ τις Ald. τὴν δυσάλυκτον] την δυσαλυτον 106. ἔμενεν] εμεινεν 23, 106, 261, 296. πάντες ἐδέθησαν] παντες εδεηθησαν 23.

XVIII. ἀμφιλαφεῖς] αμφηλαφεις (suprascript. ab al. m. κατασκιον) 106. αμφιδαφεις 253. κλάδους] καλλους 155. ὀρνέων] ορεων (corr. ab al. m.) 106. præmitt. δενδρων, η 253. præmitt. ἢ inter uncos Alex. ἦχος εὐμελὴς] ηχος εμμελεις 155. ηχος εμμελης 254.

XIX. Ἢ κτύπος ἀπηνὴς] καὶ εἰ κτύποι ἀπηνεῖς 8 Codices Sergii. καταῤῥιπτομένων πετρῶν] καταρριπτομενων πτερων 248. ἀπηνεστάτων] απηνεστατος III. φωνὴ] ορμη 106. ἀντανακλωμένη] ανταχχωμενοι marg. ab al. m. 106. ἐκ κοιλοτάτων ὀρέων] εκ κοιλοτητος ορεων 23, 55, 68, (106. primo, ut videtur, ορνεων) 155, 248, 253, 254, 296. Compl. Ald. Alex. εκ κοιλοτατων ορνεων 261. παρέλυσεν αὐτοὺς] παρελυεν αυτους 55, 248, 254. Compl. Alex. ἐκφοβοῦντα] εκφοβουσα 155.

XX. κατελάμπετο] κατελαμπρυνετω (sic) 155.

XXI. ἐπετέτατο] επετατο III, 68, 106. Ald. εδεδοτο 23. επετετακτο 254. τοῦ μέλλ. αὐτοὺς] του μελλ. αυτοις 106.

I. οὐχ ὁρῶντες] + ετρυχοντο 106, 261. ὅτι μὲν οὖν] οτι μεν γαρ 23. οτι μεν οὐ 254. Compl. Alex. κἀκεῖνοι] ∧ 55. ἐπεπόνθεισαν] πεπονθασιν 23. Ald. præmitt. ουκ 157. επεποθησαν 261. ἐμακάριζον] εμακαριζοντο (55. ut videtur scr. εκμακαριζοντο) 157, 254.

κἀκεῖνοι ἐπεπόνθεισαν, ἐμακάριζον, Ὅτι δὲ οὐ βλάπτουσι προηδικημένοι, εὐχαριστοῦσι, καὶ τοῦ 2.
διενεχθῆναι χάριν ἐδέοντο. Ἀνθ᾽ ὧν πυριφλεγῆ στύλον, ὁδηγὸν μὲν ἀγνώστου ὁδοιπορίας, ἥλιον δὲ 3.
ἀβλαβῆ φιλοτίμου ξενιτείας παρέσχες. Ἄξιοι μὲν γὰρ ἐκεῖνοι στερηθῆναι φωτὸς, καὶ φυλακισθῆ- 4.
ναι ἐν σκότει, οἱ κατακλείστους φυλάξαντες τοὺς υἱούς σου, δι᾽ ὧν ἤμελλε τὸ ἄφθαρτον νόμου φῶς τῷ
αἰῶνι δίδοσθαι. Βουλευσαμένους δ᾽ αὐτοὺς τὰ τῶν ὁσίων ἀποκτεῖναι νήπια, καὶ ἑνὸς ἐκτεθέντος 5.
τέκνου, καὶ σωθέντος, εἰς ἔλεγχον τὸ αὐτῶν ἀφεῖλω πλῆθος τέκνων, καὶ ὁμοθυμαδὸν ἀπώλεσας
ἐν ὕδατι σφοδρῷ. Ἐκείνη ἡ νὺξ προεγνώσθη πατράσιν ἡμῶν, ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίστευ- 6.
σαν ὅρκοις, ἐπευθυμήσωσι. Προσεδέχθη δὲ ὑπὸ λαοῦ σου σωτηρία μὲν δικαίων, ἐχθρῶν δὲ ἀπώ- 7.
λεια. Ὡ γὰρ ἐτιμωρήσω τοὺς ὑπεναντίους, τούτῳ ἡμᾶς προσκαλεσάμενος ἐδόξασας. Κρυφῆ γὰρ 8. 9.
ἐθυσίαζον ὅσιοι παῖδες ἀγαθῶν, καὶ τὸν τῆς θειότητος νόμον ἐν ὁμονοίᾳ διέθεντο, τῶν αὐτῶν
ὁμοίως καὶ ἀγαθῶν καὶ κινδύνων μεταλήψεσθαι τοὺς ἁγίους, πατέρων ἤδη προαναμελπόντων αἴ-
νους. Ἀντήχει δ᾽ ἀσύμφωνος ἐχθρῶν βοὴ, καὶ οἰκτρὰ διεφέρετο θρηνουμένων παίδων. Ὁμοίᾳ 10. 11.
δὲ δίκῃ δοῦλος ἅμα δεσπότῃ κολασθεὶς, καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πάσχων. Ὁμοθυμαδὸν δὲ 12.
πάντες ἐν ἑνὶ ὀνόματι θανάτου νεκροὺς εἶχον ἀναριθμήτους, οὐδὲ γὰρ πρὸς τὸ θάψαι οἱ ζῶντες
ἦσαν ἱκανοὶ, ἐπεὶ πρὸς μίαν ῥοπὴν ἡ ἐντιμοτέρα γένεσις αὐτῶν διεφθάρη. Πάντα γὰρ ἀπιστοῦν- 13.
τες διὰ τὰς φαρμακίας, ἐπὶ τῷ τῶν πρωτοτόκων ὀλέθρῳ, ὡμολόγησαν Θεοῦ υἱὸν λαὸν εἶναι. Ἡσύ- 14.
χου γὰρ σιγῆς περιεχούσης τὰ πάντα, καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης, Ὁ παντοδύναμός 15.
σου λόγος ἀπ᾽ οὐρανῶν ἐκ θρόνων βασιλειῶν, ἀπότομος πολεμιστὴς, εἰς μέσον τῆς ὀλεθρίας ἥλατο
γῆς, Ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σου φέρων, καὶ στὰς ἐπλήρωσε τὰ πάντα θανάτου· καὶ 16.
οὐρανοῦ μὲν ἥπτετο, βεβήκει δ᾽ ἐπὶ γῆς. Τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων δεινῶς ἐξετάρα- 17.
ξαν αὐτοὺς, φόβοι δὲ ἐπέστησαν ἀδόκητοι. Καὶ ἄλλος ἀλλαχῇ ῥιφεὶς ἡμίθνητος, δι᾽ ἣν ἔθνησκεν 18.
αἰτίαν ἐνεφάνιζεν. Οἱ γὰρ ὄνειροι θορυβήσαντες αὐτοὺς, τοῦτο προεμήνυσαν, ἵνα μὴ ἀγνοοῦντες δι᾽ 19.
ὃ κακῶς πάσχουσιν, ἀπόλωνται. Ἥψατο δὲ καὶ δικαίων πεῖρα θανάτου, καὶ θραῦσις ἐν ἐρήμῳ 20.
ἐγένετο πλήθους· ἀλλ᾽ οὐκ ἐπὶ πολὺ ἔμεινεν ἡ ὀργή. Σπεύσας γὰρ ἀνὴρ ἄμεμπτος προεμάχησε· 21.
τὸ τῆς ἰδίας λειτουργίας ὅπλον, προσευχὴν καὶ θυμιάματος ἐξιλασμὸν κομίσας, ἀντέστη τῷ θυ-
μῷ, καὶ πέρας ἐπέθηκε τῇ συμφορᾷ, δεικνὺς ὅτι σός ἐστι θεράπων. Ἐνίκησε δὲ τὸν ὄχλον οὐκ 22.

II. εὐχαριστοῦσι] ηυχαριστουν 23, 55, 106, 155, 157, 248, 253, 254, 261, 296. Compl. Alex. ἐδέοντο] εδεχοντο 23.

III. ἀγνώστου] αγνωστους 155. φιλοτίμου] φιλοτιμοι 23. ξενιτείας] ξενητιας III. παρέσχες] παρεσχου 23. παρεσχεν 155. παρεσχον 248.

IV. ἐκεῖνοι] εκεινου III. φυλακισθῆναι] φυλακεισθαι 296. ἐν σκότει] ∧ εν 23, 55, 155, 248, 253, 254, 261, 296. habet ἐν in char. minore Alex. κατακλείστους] κατακλυστους 261. φυλάξαντες] φυλασσοντες 253. νόμου] ∧ (106. habet inter lin. ab al. m.) 261. τῷ αἰῶνι] ζωῆς τῷ κόσμῳ 2 Codices Sergii.

V. Βουλευσαμένους δ᾽ αὐτοὺς] ∧ δ᾽ 106, 253. Ald. ∧ δ᾽ αυτους 157. τὰ τῶν ὁσίων] + σου 261. ἐκτεθ. τέκνου] ἐκτεθ. τέκνα Ald. εἰς ἔλεγχον] εις εκδικησιν 253. τὸ αὐτῶν] τον αυτων III. των αυτων 55, 155, 296. ∧ το 106, 157, 248, 253. αυτου 261. ἀφεῖλω] αφειλες (scr. αφιλες) 23. αφειλου 55, 106, 155, 157, 248. Compl. Alex. πλῆθος] πληθους 155, 261. ἀπώλεσας] απωλοντο 253. ἐν ὕδατι] ∧ εν 253.

VI. Ἐκείνη ἡ νὺξ] ∧ ἡ 155. πατράσιν ἡμῶν] præmitt. τοις 106, 157, 261, 296. ἐπευθυμήσωσι] ευχαριστησωσιν 23. επιθυμησωσι 106, 248, 253, 254. 261.

VII. Προσεδέχθη] προσδεχθη 55, 254. Alex. δὲ 1°] ∧ 106, 261. Ald.

VIII. Ὡ γὰρ] ως γαρ III, 296. Compl. Ald. τούτῳ ἡμᾶς] τοτουτω ημας 296. προσκαλεσάμενος] παρακαλεσάμενος Alex.

IX. Κρυφῆ] κρυφοι 261. ἐθυσίαζον] εθυσιαζεν 106. ὅσιοι παῖδες] οσιον παιδες 261. habet ὅσιοι in charact. minore Alex. τῆς θειότητος] της οσιοτητος 106, 155, 253, 261. πατέρων ἤδη] πατερ ηδη 23, 253. προαναμελπόντων] προαναμελποντος 23. προαναμελποντες 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex.

X. βοὴ] præmitt. ἡ Ald. οἰκτρὰ] ελεεινοι marg. ab al. m. 106. διεφέρετο] διεφενετο (forte pro διεφαινετο) III. + φωνη 23, 55, 106, 155, 157, 248, 254, 296. Compl. Alex. ∧ 253.

XI. δοῦλος ἅμα] ∧ αμα 23, 253. πάσχων] + ομοιως 296.

XII. ἐν ἑνὶ ὀνόματι] εν ενι στοματι 106. ∧ εν 254. οὐδὲ γὰρ πρὸς] ∧ γαρ 106, 261. πρὸς μίαν ῥοπὴν] προς μιαν ωραν 106, 261. ἡ ἐντιμοτέρα] ∧ ἡ 106, 261. διεφθάρη] διεφαρτο 55, 155, 157, 248, 253, 254. Alex.

XIII. Πάντα] παντες 106. διὰ τὰς φαρμακίας] δια της φαρμακιας 55. + αυτων 254. ἐπὶ τῷ] ∧ τω 106. Compl. Ald. τῶν πρωτοτόκων] ∧ των 23, 157, 248. τον πρωτοτοκον 155. ὀλέθρῳ] ολεθρον 155. Θεοῦ υἱὸν] tr. 155. Θεοῦ υἱὸν λαὸν] λαον Θεου 23. ∧ λαον 157. λαὸν εἶναι] tr. 253.

XIV. σιγῆς] φωνης 157. ἐν ἰδίῳ τάχει] ∧ εν 106, 248, 261. μεσαζούσης] μεσουσης 106, 261.

XV. ἀπ᾽ οὐρανῶν] απ᾽ ουρανου 253. βασιλειῶν] βασιλείων (sic) 55, 248, 253, 254, 296. Compl. Alex. εἰς μέσον] ∧ εις 253.

XVI. ἐπιταγήν σου] υποταγην σου III, 55, 157, 296. tr. 106. ∧ σου 254. βεβήκει] εβεβηκει 106. βεβ. δ᾽ ἐπὶ γῆς] βεβ. δε γης 23.

XVII. ὀνείρων δεινῶς] ονειρων δεινων 55, 106, 155, 248, 254. Compl. Alex. ἐξετάραξαν] εταραξαν 155, 254. φόβοι δὲ] και φοβοι δε 155. ἐπέστησαν] επεπεσον 157. ἀδόκητοι] απροσδοκητοι 157.

XVIII. ῥιφεὶς ἡμίθνητος] ριφεις ημιθανης 157, 296. ῥιφθεὶς ἡμίθνητος Alex. ἔθνησκεν] εθνησκον III, 55, 106, 157, 254, 296. ἐνεφάνιζεν] ενεφανιζον III, 55, 157, 254, 296. ενεμφανιζεν 106. αινεφανιζων (sic) 155.

XIX. τοῦτο προεμήνυσαν] τοῦτο προσεμήνυσαν Alex. ἀγνοοῦντες] αγνοησαντες 155.

XX. Ἥψατο δὲ] + ποτε 248. Compl. πεῖρα] præmitt. ποτε 23, 253. ἐν ἐρήμῳ ἐγένετο] εγενετο εν ερημω 23. πλήθους] πληθος 248. ἡ ὀργή] ἡ οργη σου 23, 55, 157, 254.

XXI. Σπεύσας γὰρ] πέρσας γὰρ Ald. ἀνὴρ ἄμεμπτος] ανηρ ὁ αμεμπτος 106. προεμάχησε—προσευχὴν] προεμαχησε το της ιδιας λειτουργιας· οπλον προσευχην (sic divis.) 106. ὅπλον] + λαβων 23, 253. εργον 157. προσευχὴν] προσευχης 23. ἐξιλασμὸν] εξιλασμων 155. κομίσας] ποιησας 261. δεικνὺς &c. ad fin. com.] φανερὸν ποιήσας ὅτι μὴ θεράπων σου Codex unus Sergii.

ΚΕΦ. XVIII.

ἰσχύι τοῦ σώματος, οὐχ ὅπλων ἐνεργείᾳ, ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν, ὅρκους πατέρων καὶ
23. διαθήκας ὑπομνήσας. Σωρηδὸν γὰρ ἤδη πεπτωκότων ἐπ' ἀλλήλων νεκρῶν, μεταξὺ στὰς, ἀνέκοψε
24. τὴν ὀργὴν, καὶ διέσχισε τὴν πρὸς τοὺς ζῶντας ὁδόν. Ἐπὶ γὰρ ποδήρους ἐνδύματος ἦν ὅλος ὁ κό-
σμος, καὶ πατέρων δόξαι ἐπὶ τετραστίχου λίθου γλυφῆς, καὶ μεγαλωσύνη σου ἐπὶ διαδήματος κεφαλῆς
25. αὐτοῦ. Τούτοις εἶξεν ὁ ὀλοθρεύων, ταῦτα δὲ ἐφοβήθησαν· ἦν γὰρ μόνη ἡ πεῖρα τῆς ὀργῆς ἱκανή.

ΚΕΦ. XIX.

1. ΤΟΙΣ δὲ ἀσεβέσι μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέστη· προῄδει γὰρ αὐτῶν καὶ τὰ μέλλοντα,
2. Ὅτι αὐτοὶ ἐπιστρέψαντες τοῦ ἀπεῖναι, καὶ μετὰ σπουδῆς προπέμψαντες αὐτοὺς, διώξουσι μεταμελη-
3. θέντες. Ἔτι γὰρ ἐν χερσὶν ἔχοντες τὰ πένθη, καὶ προσοδυρόμενοι τάφοις νεκρῶν, ἕτερον ἐπε-
4. σπάσαντο λογισμὸν ἀνοίας, καὶ οὓς ἱκετεύοντες ἐξέβαλον, τούτους ὡς φυγάδας ἐδίωκον. Εἷλκε γὰρ
αὐτοὺς ἡ ἀξία ἐπὶ τοῦτο τὸ πέρας ἀνάγκη, καὶ τῶν συμβεβηκότων ἀμνηστίαν ἐνέβαλεν, ἵνα τὴν λεί-
5. πουσαν ταῖς βασάνοις προαναπληρώσωσιν κόλασιν· Καὶ ὁ μὲν λαός σου παράδοξον ὁδοιπορίαν
6. πειράσῃ, ἐκεῖνοι δὲ ξένον εὕρωσι θάνατον. Ὅλη γὰρ ἡ κτίσις ἐν ἰδίῳ γένει πάλιν ἄνωθεν διε-
7. τυποῦτο, ὑπηρετοῦσα ταῖς ἰδίαις ἐπιταγαῖς, ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν ἀβλαβεῖς. Ἡ τὴν
παρεμβολὴν σκιάζουσα νεφέλη, ἐκ δὲ προϋφεστῶτος ὕδατος ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρήθη, ἐξ ἐρυ-
8. θρᾶς θαλάσσης ὁδὸς ἀνεμπόδιστος, καὶ χλοηφόρον πεδίον ἐκ κλύδωνος βιαίου, Δι' οὗ πανεθνὶ δι-
9. ῆλθον οἱ τῇ σῇ σκεπαζόμενοι χειρὶ, θεωρήσαντες θαυμαστὰ τέρατα. Ὡς γὰρ ἵπποι ἐνεμήθησαν,
10. καὶ ὡς ἀμνοὶ διεσκίρτησαν, αἰνοῦντές σε, Κύριε, τὸν ῥυόμενον αὐτούς. Ἐμέμνηντο γὰρ ἔτι τῶν ἐν
τῇ παροικίᾳ αὐτῶν, πῶς ἀντὶ μὲν γενέσεως ζώων ἐξήγαγεν ἡ γῆ σκνῖπα, ἀντὶ δὲ ἐνύδρων ἐξη-
11. ρεύξατο ὁ ποταμὸς πλῆθος βατράχων. Ἐφ' ὑστέρῳ δὲ εἶδον καὶ νέαν γένεσιν ὀρνέων, ὅτι ἐπιθυ-
12. μίᾳ προαχθέντες ᾐτήσαντο ἐδέσματα τρυφῆς. Εἰς γὰρ παραμυθίαν ἀνέβη αὐτοῖς ἀπὸ θαλάσ-
13. σης ὀρτυγομήτρα, Καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον, οὐκ ἄνευ τῶν γεγονότων τεκμηρίων
τῇ βίᾳ τῶν κεραυνῶν· δικαίως γὰρ ἔπασχον ταῖς ἰδίαις αὐτῶν πονηρίαις· καὶ γὰρ χαλεπωτέραν
14. μισοξενίαν ἐπετήδευσαν. Οἱ μὲν γὰρ τοὺς ἀγνοοῦντας οὐκ ἐδέχοντο παρόντας, οὗτοι δὲ εὐεργέτας
15. ξένους ἐδουλοῦντο. Καὶ οὐ μόνον, ἀλλ' ἥτις ἐπισκοπὴ ἔσται αὐτῶν, ἐπεὶ ἀπεχθῶς προσεδέχοντο
16. τοὺς ἀλλοτρίους· Οἱ δὲ μετὰ ἑορτασμάτων εἰσδεξάμενοι τοὺς ἤδη τῶν αὐτῶν μετεσχηκότας δικαίων,
δεινοῖς ἐκάκωσαν πόνοις. Ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ, ὥσπερ ἐκεῖνοι ἐπὶ ταῖς τοῦ δικαίου θύ-

XXII. τὸν ὄχλον] τον ολοθρευοντα 157, 248. Compl.

XXIII. ἀνέκοψε] ενεκοψε 155.

XXIV. Ἐπὶ γὰρ ποδήρους] επι γαρ ποδηρου 23. καὶ πατέρων —γλυφῆς] ∧ (106 habetur in marg. ab al. m. *et parentum magnalia in quatuor ordinibus lapidum erant ſculpta.*) 261. λίθου γλυφῆς] λιθων γλυφης III, 23, 55, 248, 254, 296. Compl. λιθον γλυφης 155. μεγαλωσύνη σου] μεγαλωσύνησσου (ſic) 155.

XXV. ταῦτα δὲ ἐφοβήθησαν] ταυτα εφοβηθη 23, 253. ταυτα δε εφοβηθη 55, 106, 155, 248, 254. Compl. Alex. ταυτα διεφοβηθη 296. ἦν γὰρ μόνη] ἦν γαρ μονον 23.

I. καὶ τὰ μέλλοντα] ∧ και 106, 261.

II. αὐτοὶ ἐπιστρέψαντες] αυτοι επιτρεψαντες 55, 157, 248. Compl. Alex. αυτοι επεστρεψαν 106. αυτος επετρεψεν 261. τοῦ ἀπεῖναι] του απιεναι 106, 157, 248, 253. Compl. καὶ μετὰ σπουδῆς] ∧ και 155, 157. και μετα πασης σπουδης 254. διώξουσι] διωξωσιν 155.

III. Ἔτι γὰρ] οτι γαρ 23. τὰ πένθη] τα παθη 106. ἐξέβαλον] εξεβαλλον 55, 254, 296.

IV. Εἷλκε γὰρ αὐτοὺς] ειχη γαρ αυτου 106. ειχη γαρ αυτους 261. ελκει αυτους 296. ἐπὶ τοῦτο τὸ] επι τοιουτο 157. τὸ πέρας] ∧ το 23, 106, 155, 253, 261. Ald. τῶν συμβεβηκότων] τῶν βεβηκότων Ald. ἐνέβαλεν] ενεβαλλεν 23. προαναπληρώσωσιν] προσαναπληρωσωσιν 155. προσαναπληρωσει 296.

V. λαός σου] ∧ σου 261.

VI. ἄνωθεν διετυποῦτο] ανωθεν ανετυπουτο 55, 248, 254. Compl. ταῖς ἰδίαις ἐπιταγαῖς] ταις σαις υποταγαις 106, 261. ταις σαις επιταγαις 155, 157. Alex. ἵνα οἱ σοὶ παῖδες] ινα οσιοι παιδες 253. ινα εισι παιδες 261. ἀβλαβεῖς] αβλαβως 261.

VII. Ἡ τὴν παρεμβ.] τῇ τὴν παρεμβ. Alex. σκιάζουσα νεφέλη] σκιαζούσῃ νεφέλῃ Alex. ἐκ δὲ προϋφ.] εκ δε του προϋφ. 23. ἀνάδυσις] αναδοσις 261. ἐθεωρήθη] ἐθεωρεῖτο Alex. ἐξ ἐρυθρᾶς] præmitt. και 248. Compl.

VIII. πανεθνὶ] παν εθνος 55, 68, 155, 157, 254, 296. Compl. Ald. Alex. παν τ' εθνος 248. διῆλθον] διηλθεν 296. θαυμαστὰ τέρατα] θαυμαστα πραγματα 106.

IX. ἐνεμήθησαν] διενεμηθησαν 106. διενεμηθηντο 261. τὸν ῥυόμενον] τον ρυσαμενον 55, 155, 157, 254, 296. Ald. Alex.

X. Ἐμέμνηντο] εμβαινοντο 261. γὰρ ἔτι] γαρ τι 106. ἐν τῇ παροικίᾳ αὐτῶν] præmitt. παροικειων των 155. πῶς ἀντὶ μὲν γενέσεως] αντι μεν χερσεων 155. σκνῖπα] σκνιφας 23, 106, 261. Ald. Alex. σκνιφα 55, 157, 248, 254, 296. ἀντὶ δὲ ἐνύδρων] αντι δε ανυδρων III.

XI. εἶδον] ἴδου Alex. νέαν γένεσιν] tr. 55, 155, 248, 253, 254, 296. Compl. Alex. γενεσιν ετερων 157. ὅτι ἐπιθυμίᾳ] οτε επιθυμια 23, 55, 106, 155, 248, 253, 254, 296. Compl. προαχθέντες] προσαχθεντες 155.

XII. παραμυθίαν] παραμυθιον 23, 106, 261. præmitt. επει 155. ἀνέβη αὐτοῖς ἀπὸ θαλάσσης] εκ θαλασσης ανεβη αυτοις 106, 253, 261. ανεβη αυτοις εκ θαλασσης 248. Compl. ὀρτυγομήτρα] ∧ 155.

XIII. Καὶ αἱ τιμωρίαι] ∧ αἱ 106, 261. ἄνευ τῶν γενονότων] ανευ των προγεγονοτων 55, 155, 157, 248, 253, 254. Compl. Alex. ανισοι των προγεγονοτων 106. ανισαι των προγεγονοτων 261. τεκμηρίων] ∧ 106, 261. καὶ γὰρ χαλεπωτέραν] ∧ γαρ 261.

XIV. Οἱ μὲν γὰρ] η μεν γαρ 23. τοὺς ἀγνοοῦντας] τοὺς ἀγνῶτας Alex. παρόντας] ὡς παριοντας 106, 261. οὗτοι δὲ] αυτοι δε 157. οὗτοι δὲ—ἐδουλοῦντο] ουδε ως ευεργεταις εδουλουντο 106. οὐδὲ ὡς εὐεργέτας ἐδουλοῦντας (ſic) 261.

XV. ἀλλ' ἥτις] ἀλλ' ἣ τίς 106. αλλη τις 157. ἀλλ' ἄλλη τις (cum ἀλλ' in charact. minore) Alex. ἔσται αὐτῶν] εσται αυτω 155. tr. 253. ἀπεχθῶς] ακουσιος marg. ab al. m. 106.

XVI. μετὰ ἑορτασμάτων] μεθ' εορτασμων 23, 253. πόνοις] + παντοιοις (ſcr. παντιοις) επιτηδευοντες 155.

XVII. ἐπὶ ταῖς] præmitt. οἱ 23. σκότει] σκοτω 23. τῶν αὐ-

ραις, ὅτε ἀχανεῖ περιβληθέντες σκότει, ἕκαςος τῶν αὐτȣ̃ θυρῶν τὴν δίοδον ἐζήτει. Δι' ἑαυτῶν 18.
γὰρ τὰ ςοιχεῖα μεθαρμοζόμενα, ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι τȣ̃ ῥυθμȣ̃ τὸ ὄνομα διαλλάσσουσι,
πάντοτε μένοντα ἤχῳ, ὅπερ ἐςὶν εἰκάσαι ἐκ τῆς τῶν γεγονότων ὄψεως ἀκριβῶς. Χερσαῖα γὰρ 19.
εἰς ἔνυδρα μετεβάλλετο, καὶ νηκτὰ μετέβαινεν ἐπὶ γῆς. Πῦρ ἴσχυσεν ἐν ὕδατι τῆς ἰδίας δυνά- 20.
μεως, καὶ ὕδωρ τῆς σβεςικῆς δυνάμεως ἐπελανθάνετο. Φλόγες ἀνάπαλιν εὐφθάρτων ζώων οὐκ 21.
ἐμάραναν σάρκας ἐμπεριπατȣ́ντων, ȣ̓δὲ τηκτὸν εὔτηκτον κρυςαλλοειδὲς γένος ἀμβροσίας τροφῆς.
Κατὰ πάντα γὰρ, Κύριε, ἐμεγάλυνας τὸν λαόν σου, καὶ ἐδόξασας, καὶ ȣ̓χ ὑπερεῖδες, ἐν παντὶ 22.
καιρῷ καὶ τόπῳ παριςάμενος.

τοῦ θυρῶν] των εαυτου θυρων 55, 155, 248, 254, 296. Compl. Alex. τὴν δίοδον] την οδον 106, 261.

XVIII. Δι' ἑαυτῶν] δι' εαυτον 155. ἐν ψαλτηρίῳ] præmitt. οἱ 106, 261. τȣ̃ ῥυθμȣ̃] τȣ ρυθμȣντος 155. τὸ ὄνομα διαλλ.] ∧ το 155. πάντοτε] παντα 23. παντα τα 155. πάντοτε &c. ad fin. cap.] ∧ 106, 261. ἤχῳ] præmitt. εν 23, 157, 254. (Alex. in char. minore.) ὅπερ ἐςὶν] ωσπερ εςιν 296. τῶν γεγονότων] των γενομενων 155.

XIX. μετεβάλλετο] μετεβαλλοντο 296. ἐπὶ γῆς] επι γην 23. εις γην 155, 253.

XX. Πῦρ ἴσχυσεν] πυρ ισχυεν 55, 157, 254. Alex. ἴσχυσεν ἐν] ισχυεν 155. τῆς ἰδίας δυνάμεως] + επιλελησμενον (55. scr. επιλελησμενων) 155, 157, 248, 296. Compl. Alex. + επιλελησμενος 253. της οικειας δυναμεως επιλελησμενον 254. τῆς σβεςικῆς δυνάμεως] της σβεςικης φυσεως 23, 155, 248, 296. Compl. Alex. της ιδιας φυσεως 55, 254.

XXI. ȣ̓δὲ τηκτὸν] ου πηκτον 157. ȣ̓δ' ἔτηκον Alex. εὔτηκτον κρυςαλλοειδὲς] tr. 23, 55, 157, 248, 253, 254, 296. Compl. Ald. Alex. εὔτηκτον κρυςαλλ. γένος] κρυςαλλ. ευςικτον (sic) γενος 155.

XXII. Κύριε] ∧ 23. ἐμεγάλυνας] εμνημονευσας 253. τὸν λαόν σȣ] τȣ λαȣ σȣ 253.